διὰ γὰρ τὸ ἕτως εἶναι τὸν υἱὸν, ἐργαζομένε δ υἱε, ὁ πατὴρ ἐστιν ἐργαζόμενος· καὶ ἐρχομένε τε υἱε πρὸς τὰς ἁγίας, ὁ πατὴρ ἐστιν ὁ ἐρχόμενος ἐν τῷ υἱῷ· ὡς αὐτὸς ἐπηγγείλατο λέγων· ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα· ἐν γὰρ τῇ εἰκόνι θεωρεῖται ὁ πατὴρ· καὶ ἐν τῷ ἀπαυγάσματι ἐστὶ τὸ φῶς. διὰ τοῦτο, καθάπερ μικρῷ πρόσθεν εἴπομεν, διδόντος τοῦ πατρὸς χάριν καὶ εἰρήνην, ταύτην ὁ υἱὸς δίδωσιν· ὡς ὁ Παῦλος ἐπισημαίνεται διὰ πάσης ἐπιστολῆς γράφων· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίε Ἰησοῦ Χριστοῦ. μία γὰρ καὶ ἡ αὐτὴ χάρις ἐστὶ παρὰ πατρὸς ἐν υἱῷ, ὡς ἔστιν ἔνθοι φῶς τὸ ἡλίε καὶ τὸ ἀπαύγασμα γίνεται· ἔτω γὰρ πάλιν ὑπολαμβάνομεν Θεσσαλονικεῦσι λέγων· αὐτὸς δὲ ὁ Θεὸς ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς, τὴν ἑνότητα τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐφύλαξεν. ἐν γὰρ εἶπε κατευθύνοιεν· ὡς παρὰ δύο διδομένης, παρὰ τούτε, καὶ τούτε διπλῆς χάριτος, ἀλλὰ κατευθύναι· ἵνα δείξῃ, ὅτι ὁ πατὴρ διὰ τοῦ υἱοῦ δίδωσι ταύτην, ἐξ ὧν καὶ ἐρυθριᾷν οἱ ἀσεβεῖς ὀφείλουσι· καὶ δυνάμενοι δὲ βάλλονται· εἰ γὰρ καὶ μὴ ἦν ἑνότης καὶ ἴδιον τοῦ πατρὸς οὐσίας γέννημα ὁ Λόγος· ὡς τὸ ἀπαύγασμα τοῦ φωτός· ἀλλὰ διεστήκει τῇ φύσει ὁ υἱὸς τοῦ πατρὸς, ἤρκει τὸν πατέρα δοῦναι μόνον· ἑνὸς τῶν γνητῶν ἀπκοινωνοῦντος πρὸς τὰ πεποιημένα ἐν τοῖς διδομένοις. νυνὶ δὲ ἡ τοιαύτη δόσις δείκνυσι τὴν ἑνότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· οὐκ ἂν γὰρ εὔξαιτό τις λαβεῖν παρὰ τοῦ πατρὸς καὶ τῶν Ἀγγέλων· ἢ παρά τινος τῶν ἄλλων κτισμάτων, ἀφ' ἂν εἴποι τις, δώῃ σοι ὁ Θεὸς καὶ Ἀγγέλε· ἀλλὰ παρὰ πατρὸς καὶ τοῦ υἱοῦ, διὰ τὴν ἑνότητα καὶ τὴν ἐνοικοῦσαν δόσιν· διὰ γὰρ τοῦ υἱοῦ δίδοται τὰ διδόμενα· ἀδὲν δέ ἐστιν, ὃ μὴ διὰ υἱοῦ ὁ πατὴρ ἐνεργεῖ· ἔτω γὰρ καὶ ὁ λαβὼν ἀσφαλῆ τὴν χάριν ἔχει· εἰ δὲ ὁ Πατριάρχης Ἰακὼβ, εὐλογῶν τοὺς ἐγγόνους Ἐφραὶμ καὶ Μανασσῆ ἔλεγε· ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης· ὁ Ἄγγελος ὁ ῥυσάμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα· ἀλλ' ὢν κτιστὸν ἦν τῇ φύσει Ἀγγέλων ὄντων, ἕνα σωτῆρα τῷ κτίσαντι αὐτὸν Θεῷ ἀδὲ ἀφεὶς τὸν τρέφοντα αὐτὸν Θεὸν, παρὰ Ἀγγέλου τὴν εὐλογίαν ᾔτει τοῖς ἐγγόνοις· ἀλλ' εἰρηκὼς ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν ἔδειξε μὴ τῶν κτισθέντων τινὰ Ἀγγέλων,

ἀλλὰ τὸν Λόγον εἶναι τοῦ Θεοῦ, ὃν τῷ πατρὶ συναπτῶν ἤυχετο· διὸ καὶ ὃς ἐὰν θέλῃ, ῥύεται ὁ Θεός. τοῦτον γὰρ καὶ μεγάλης βουλῆς Ἄγγελον τοῦ πατρὸς εἰδὼς παλαίμνων, οὐκ ἄλλον, ἀλλ' ἢ αὐτὸν εἶναι τὸν εὐλογοῦντα, καὶ ῥυόμενον ἐκ τῶν κακῶν ἔλεγεν. οὐ γὰρ αὐτὸς μὲν ἠξίου ὡς τοῦ Θεοῦ εὐλογεῖσθαι· τοὺς δὲ ἐγγόνους ἤθελεν ὡς Ἀγγέλου· ἀλλ' ὃν αὐτὸς παρεκάλει λέγων, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς· Θεὸς δὲ ἦν οὗτος, ὡς αὐτός φησιν· εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, τοῦτον εὐλογῆσαι καὶ τοὺς υἱοὺς Ἰωσὴφ ἤυχετο· Ἀγγέλου μὲν ἴδιον διακονεῖν τῇ τοῦ Θεοῦ προσάξει· πολλάκις δὲ καὶ προπορεύεται ἐκβαλεῖν τὸν Ἀμορραῖον καὶ πέμπεται φυλάξαι τὸν λαὸν ἐν τῇ ὁδῷ. ἀλλὰ καὶ ταῦτα, οὐκ ἔστιν ἀπ' αὐτοῦ ὃ προσάξαντος καὶ ἀποστείλαντος αὐτὸν Θεοῦ· ἃ καὶ τὸ ῥύεσθαί ἐστιν, ὃς ἂν θέλῃ ῥύσασθαι· διὰ τοῦτο οὐκ ἄλλος, ἢ αὐτὸς Κύριος ὁ Θεὸς ὀφθείς, εἶπεν ἀπ' αὐτοῦ· καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, ᾗ ἂν πορεύῃ· καὶ οὐκ ἄλλος, ἀλλὰ πάλιν ὁ Θεὸς ὀφθεὶς ἐπέσχε τὸν Λάβαν τὴν ἐπιβουλὴν, κελεύσας ἀπ' αὐτοῦ μὴ λαλῆσαι πονηρὰ τῷ Ἰακώβ· καὶ αὐτὸς ὃ οὐκ ἄλλον, ἢ τὸν Θεὸν παρεκάλει λέγων· ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου Ἡσαῦ, ὅτι φοβοῦμαι αὐτόν· καὶ γὰρ καὶ ταῖς γυναιξὶν ὁμιλῶν ἔλεγεν· ὅτι οὐκ ἔδωκεν ὁ Θεὸς τῷ Λάβαν κακοποιῆσαί με. διὰ τοῦτο καὶ ὁ Δαβὶδ οὐκ ἄλλον, ἢ αὐτὸν τὸν Θεὸν παρεκάλει τοῦ ῥυσθῆναι· σοῦ σε, Κύριε, ἐν τῷ θλίβεσθαί με, ἐκέκραξα, καὶ ἐπήκουσάς μου· Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας· τοῦτο καὶ τὴν χάριν ἀνατιθεὶς ἐλάλησε τοὺς λόγους τῆς ᾠδῆς ἐν τῷ ὀγδοηκοστῷ ἐνάτῳ ψαλμῷ· ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν ὁ Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ· καὶ ἐκ χειρὸς Σαὺλ, καὶ εἶπεν· ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου. ὁ δὲ Παῦλος πολλὰς διωγμὰς ὑπομείνας, οὐκ ἄλλῳ, ἢ τῷ Θεῷ ἠυχαρίστει λέγων· ἀλλ' ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος καὶ ῥύσεται εἰς ὃν ἤλπισα· καὶ οὐκ ἄλλος ὃ ἢ Θεὸς εὐλόγησε τὸν Ἀβραάμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακώβ· καὶ ὁ Ἰσαὰκ ὑποδυόμενος τῷ Ἰακώβ, ἔλεγε· ὁ Θεός μου εὐλογήσαι σε, καὶ αὐξήσαι σε καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν, καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου· εἰ ὃ οὐκ ἄλλου τινός ἐστι τὸ εὐλογεῖν καὶ τὸ ῥύεσθαι, ἢ τοῦ Θεοῦ,

A sed Verbum fuisse DEI, quem patri in suis precibus consociavit, per quem DEUS liberat, quos vult. Hunc enim magni consilii patris Angelum noverat, nec alium, nisi illum ipsum, qui benedicit & liberat ex malis, suis verbis expressit. Non enim ille sibi a DEO, nepotibus autem ab Angelo benedictionem dari voluisset, sed eundem illum, quem interpellabat: *Non dimittam te*, inquiens, *nisi benedixeris mihi*: is enim erat Deus, ut verba Jacobi clare testantur: *Vidi Deum facie ad faciem*, illum ipsum, inquam, precatus est, ut nepotibus benediceret. An- *Genes. 32. v. 30.*

B geli enim proprium est, Dei mandatis inservire, ac proinde aliquando progreditur, ut ejiciat Amorrhæos, aliquando amandatur, ut tueatur populum in itinere. Cæterum illud ipsum, quod fit, non est opus ejus, sed Dei, qui imperat & emittit eum: ejusdem quoque est, ut liberet, quos voluit liberari. Non igitur alius, quam ipse Dominus Deus fuerit, qui ei apparens ita locutus est: *Ecce ego tecum sum, conservans te in via, quacunque ieris, & non alius.* Idem denuo apparens repressit insidias Laban, interdicens Labani, ne cum Jacob verbis asperioribus ageret: neque Jacob quemquam, præter DE- *Genes. 31.*

C UM invocabat: *Eripe me*, inquiens, *Domine, e manibus fratris mei Esau, quoniam eum timeo.* Idem cum uxoribus verba conferens locutus est: *Non datum est Labani a Deo, ut malefaceret mihi.* David quoque nullum alium, quam Deum, pro sui liberatione invocabat: *Ad te Domine, in tribulatione mea clamavi, & exaudisti me: Domine, libera animam meam a labiis iniquis & a lingua dolosa.* Huic quoque hoc beneficium acceptum ferens, locutus est verba odæ suæ in decimo octavo Psalmo, in die, qua liberavit eum Dominus ex manibus omnium inimicorum suorum, & e manibus Saul. Et *Psal. 119.*

D dixit: *Diligam te, Domine, fortitudo mea & corroboratio mea, & refugium meum, & liberator meus.* Postremo Paulus: *Dominus me ex omnibus liberavit, & liberaturus est, in quem speravimus.* Porro, non alius fuit, quam Deus, qui benedixit Abraam, & Isaac, & Jacob. Isaac quoque Jacobo his verbis benedixit: *Deus meus benedicat tibi, & augeat te, & multiplicet te, & eris in cœtus populorum, & det tibi benedictionem Abrahæ patris mei.* Vides non alterius, quam Dei, esse benedicere aut liberare: *2. Tim. 4.*

Neque alius fuit, qui liberavit Jacob, quam Dominus: liberatorem autem Patriarcha invocabat super nepotibus suis: Clarum igitur est, Patriarcham non alium in suis precibus copulasse cum Deo, quam hoc Verbum, quod Angelum ideo nominavit, quia solus is est, qui patrem revelat, quod etiam ab Apostolo factitatum est, cum inquit: *Gratia vobis, & pax a Deo patre nostro, & Domino Jesu Christo:* ita etiam certa & firma erat benedictio, ob indivisibilitatem filii cum patre: & quia una eademque gratia est, quæ donatur, & sive pater det, per filium datur hoc ipsum, quod datur: sive rursum filius muneretur, pater tamen est, qui per filium & in filio hoc ipsum munus præstat. *Gratias ago*, inquit Apostolus, ad Corinthios scribens: *Deo meo undiquaque vestro nomine super gratia Dei, quæ data est vobis in Christo Jesu.* Illud ipsum quoque in luce & proradiatione lucis conspexeris. Siquidem quod illustrat lux, hoc ipsum quoque irradiat jubar: illustratio autem, qua irradiat jubar, ex luce proficiscitur: ita quoque conspecto filio conspicitur pater: filius enim patris jubar est, atque ea ratione pater & filius unum sunt. Cæterum, tale quid de rebus creatis haud quaquam dixeris: non enim operante patre operatur aliquis Angelorum, aut quisquam alius ex rebus creatis. Nec mirum, cum nihil istorum agendi vim causamque possideat: sed ipsi potius sint, qui conduntur, maxime quia segregati sunt dissidentque ab eo, qui solus natura est & exstitit, tum quia ipsi ex genere operum sunt, ac proinde operari nequeant, quæ Deus operatur. Nam quanquam omnia operari videntur, non tamen donante Deo simul cum eo donare: aut conspecto Angelo, quispiam dixerit, se Deum conspexisse. Angeli enim (quemadmodum scriptum est) administratorii sunt spiritus, qui ad negotia obeunda emittuntur, & patris donationes per filium elargitas renunciant illis, qui accipiunt. Quin & ipse Angelus visus conspectusque, se mitti a Domino confitetur, quemadmodum apud Zachariam, & apud Deiparam Mariam confessus est Gabriel. Et qui Angelum viderat, noverat, quid viderat, cum Angelum esse intellexit, & non Deum. Nam & Zacharias Angelum vidit: Esaias autem Dominum, Manoe rursus Samsonis pater Angelum, & Moses Deum, Gedeoni rursus Angelus, & Abrahæ Deus apparuit, neque tamen is, qui Deum vidit, Angelum viderat:

Rom. 1.

2. Cor. 2.

καὶ οὐκ ἄλλος τις ἦν, ὁ ῥυόμενος τὸν Ἰακώβ, ἢ αὐτὸς ὁ Κύριος, τὸν δὲ ῥυόμενον αὐτὸν ὁ Πατριάρχης ἐπεκαλεῖτο ἐπὶ τοὺς ἐγγόνους· δῆλόν ἐστιν. ὡς οὐκ ἄλλον ἐν τῇ αὐτῇ σωτηρίᾳ τῷ Θεῷ, ἢ τὸν τοῦτο Λόγον, ὃν διὰ τοῦτο καὶ Ἄγγελον ἐκάλεσεν· ὅτι μόνος οὗτός ἐστιν ὁ ἀποκαλύπτων τὸν πατέρα· ὅπερ καὶ ὁ Ἀπόστολος ἐποίησε λέγων· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· οὕτως γὰρ καὶ ἀσφαλὴς ἦν ἡ εὐλογία διὰ τὸ ἀδιαίρετον τοῦ υἱοῦ πρὸς τὸν πατέρα· καὶ ὅτι μία καὶ αὐτή ἐστιν ἡ διδομένη χάρις· κἂν γὰρ ὁ πατὴρ δῴη, διὰ τοῦ υἱοῦ ἐστι διδόμενον· κἂν ὁ υἱὸς λέγῃ χαρίζεσθαι, ὁ πατήρ ἐστιν, ὁ διὰ τοῦ υἱοῦ καὶ ἐν υἱῷ παρέχων· εὐχαριστῶ γάρ, φησιν ὁ Ἀπόστολος, γράφων Κορινθίοις, τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· τοῦτο δὲ καὶ ἐπὶ φωτὸς καὶ ἀπαυγάσματος, ἂν τις ἴδοι ἐν αὐτῷ ὅπερ φωτίζει τὸ φῶς, τοῦτο τὸ ἀπαύγασμα καταυγάζει· ὅπερ ὑπὸ καταυγάζει τὸ ἀπαύγασμα, ἐν ᾧ φῶς ἐστιν ὁ φωτισμός· οὕτω βλεπομένου τοῦ υἱοῦ, βλέπεται ὁ πατήρ· τοῦ γὰρ πατρός ἐστι τὸ ἀπαύγασμα· ὡς οὕτως ὁ πατὴρ καὶ ὁ υἱὸς ἕν εἰσι· τοῦτο δὲ ἐπὶ τῶν γνητῶν καὶ κτισμάτων, οὐκ ἄν τις εἴποι· ὅτε γὰρ ἐργαζομένου τοῦ πατρός, ἐργάζεταί τις αὐτὰ τῶν Ἀγγέλων, ἢ ἄλλος τις τῶν κτισμάτων· οὐδὲν γὰρ τούτων ποιητικὸν αἴτιόν ἐστιν, ἀλλὰ τῶν γινομένων εἰσίν· ἄλλως τε καὶ κεχωρισμένοι, καὶ διεσηκότες τοῦ μόνου, ἄλλοι τῇ Φύσιν ὄντες καὶ ἔργα τυγχάνοντες· ὅτε ἅπερ ἐργάζεται ὁ Θεὸς, δυνανται ἐργάζεσθαι· ἐπεὶ καὶ αὐτοὶ ἐργάζεσθαι δόξωσιν· ὅτε, καθὰ προεῖπον, χαριζομένου τοῦ Θεοῦ συγχαρίζεσθαι· ὅτε βλεπομένου Ἀγγέλου, εἴποι ἄν τις, ἑωρακέναι τὸν πατέρα, Ἄγγελοι μὲν γὰρ, ὡς γέγραπται, λῃτουργικὰ πνεύματά εἰσιν εἰς διακονίαν ἀποστελλόμενα, καὶ τὰς παρ' αὐτοῦ διὰ τοῦ λόγου δωρεὰς διδομένας ἀπαγγέλλοντες εἰσὶ τοῖς λαμβάνουσι· καὶ αὐτὸς δὲ ὁ Ἄγγελος ὁρώμενος, ὁμολογεῖ ἀπεσταλθαι παρὰ τοῦ δεσπότου. ὡς ἐπὶ Ζαχαρίου ὁ Γαβριὴλ, καὶ ἐπὶ τῆς Θεοτόκου Μαρίας, ὁ αὐτὸς ὡμολόγησε· καὶ ὁ βλέπων δὲ Ἀγγέλων ὁπλασίαν, οἶδεν, ὅτι τὸν Ἄγγελον εἶδε καὶ οὐ Θεόν· εἶδε γὰρ Ζαχαρίας Ἄγγελον· εἶδε καὶ Ἡσαΐας τὸν Κύριον· εἶδε Μανωὲ ὁ πατὴρ Σαμψὼμ Ἄγγελον· ἐθεώρησε δὲ καὶ Μωσῆς τὸν Θεόν· εἶδε Γεδεὼν Ἄγγελον· ὤφθη δὲ καὶ τῷ Ἀβραὰμ ὁ Θεός· καίτοι ὁ τὸν Θεὸν θεωρῶν ἔβλεπεν Ἄγγελον,

ὅτε τὸν Ἄγγελον ὁρῶν, ἐνόμιζε τὸν Θεὸν ὁ-
ρᾶν· πολὺ γὰρ, μᾶλλον δὲ τὸ ὅλον διέστηκε τῇ Φύ-
σει τὰ γενητὰ πρὸς τὸν κτίσαντα αὐτὰ Θεόν·
εἰ δέ ποτε ὀφθέντος Ἀγγέλου, ὁ ὁρῶν φωνῆς ἤ-
κουσε Θεοῦ, ὥσπερ ἐπὶ τῆς βάτου γέγονεν· ὤφθη
γὰρ Ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς ἐκ τῆς βά-
του· καὶ ἐκάλεσε Κύριος Μωσῆν ἐκ τῆς βάτου,
λέγων· ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου· ὁ Θεὸς
Ἀβραάμ· καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ·
ἀλλ' οὐκ ἦν ὁ Ἄγγελος, ὁ Θεὸς Ἀβραάμ. ἐν δὲ
τῷ Ἀγγέλῳ λαλῶν ἦν ὁ Θεός· καὶ ὁ μὲν Φαινό-
μενος ἦν Ἄγγελος· ὁ δὲ Θεὸς, ἐν αὐτῷ ἐλάλει·
ὡς γὰρ ἐν στύλῳ νεφέλης ἐλάλει τῷ Μωσῆ ἐν
τῇ σκηνῇ, οὕτως καὶ ἐν Ἀγγέλοις φαίνεται λα-
λῶν ὁ Θεός· οὕτω καὶ τῷ τοῦ Ναυῆ δι' Ἀγγέλου ἐ-
λάλει. ἃ δὲ λαλεῖ ὁ Θεὸς, φανερόν, ὅτι διὰ
τοῦ λόγου λαλεῖ, καὶ οὐ δι' ἄλλου· ὁ δὲ Λόγος,
ὢν κεχωρισμένος τοῦ πατρὸς, οὐδὲ ἀνόμοιος καὶ
ξένος τῆς οὐσίας τοῦ πατρὸς τυγχάνων· ἃ ἐρ-
γάζεται, ταῦτα τοῦ πατρός ἐστιν ἔργα· καὶ μίαν
ποιεῖ τὴν δημιουργίαν· καὶ ἃ δίδωσιν ὁ υἱός, ταῦ-
τα τοῦ πατρός ἐστιν ἡ δόσις· καὶ ὁ ἑωρακὼς τὸν
Ἄγγελον, οὐδὲ μείζονά τινα τῶν Ἀγγέλων, οὐδὲ
ὅλως τῶν κτισμάτων, ἀλλ' αὐτὸν ἑώρακε τὸν
υἱόν, οἶδεν, ὅτι τοῦτον ἑωράκως, οὐ πα-
τέρα· καὶ ὁ τοῦ Λόγου ἀκούων, οἶδεν, ὅτι τοῦ
πατρὸς ἀκούει. ὡς καὶ τῷ ἀπαυγάσματι ὁ κα-
ταυγαζόμενος, οἶδεν, ὅτι καὶ ὑπὸ ἡλίου φω-
τίζεται, ὅτως γὰρ ἡμᾶς βουλομένη νοεῖν ἡ
θεία γραφὴ, τοιαῦτα παραδείγματα ἔδω-
κεν· ὡς καὶ ἐν τοῖς περὶ τούτων εἰρήκαμεν· ἐξ
ὧν καὶ τοὺς περιόντας Ἰουδαίους δυσωπεῖν δυ-
νάμεθα, καὶ τὴν Ἑλλήνων διαλύειν κατηγο-
ρίαν, φασκόντων καὶ νομιζόντων διὰ τὴν
Τριάδα λέγειν καὶ ἡμᾶς πολλοὺς Θεούς. οὐδὲ
γὰρ ὥσπερ καὶ τὸ παράδειγμα δείκνυσι, τρεῖς
ἀρχὰς, ἢ τρεῖς πατέρας εἰσάγομεν, ὡς οἱ
περὶ Μαρκίωνα καὶ Μανιχαῖον. ἐπεὶ μηδὲ
τριῶν ἡλίων ὑπεθέμεθα τὴν εἰκόνα, ἀλλὰ
ἥλιον καὶ ἀπαύγασμα· καὶ ἓν τὸ ἐξ ἡλίου
ἐν τῷ ἀπαυγάσματι φῶς· οὕτω μίαν ἀρχὴν
οἴδαμεν· τόνδε δημιουργὸν φάσκομεν οὐχ ἕτε-
ρόν τινα τρόπον ἔχειν θεότητος, ἢ τὴν τοῦ
μόνου Θεοῦ, διὰ τὸ ἐξ αὐτοῦ πεφυκέναι· μᾶλ-
λον μὲν οὖν οἱ Ἀρειομανῖται, δικαίως ἂν ἔ-
χοιεν τὸ ἔγκλημα τῆς πολυθεότητος καὶ ἀθεό-
τητος· ὅτι ἔξωθεν τὸν υἱὸν κτίσμα καὶ πάλιν
τὸ πνεῦμα ἐκ τοῦ μὴ ὄντος βαττολογοῦσιν·
εἰ γὰρ οὐκ εἶναι Θεὸν τὸν Λόγον φήσουσιν·

A neque qui Angelum vidit, Deum se conspexisse arbitratus est. Plurimum siquidem, imo potius in universum naturis dissident res creatitiæ cum creatore suo Deo. Quod si autem misso aut conspecto Angelo, is, qui hoc vidit, Dei vocem audierit: quemadmodum in rubo evenit: siquidem ibi Angelus Dei e rubo conspectus est: *Et vocavit Dominus Moſem e rubo, his verbis: Ego ſum Deus patris tui, Deus Abrahæ, Deus Iſaac, & Deus Jacob*, non tamen ob id Angelus ille erat Deus eorum, sed in Angelo loquebatur Deus, & is quidem, qui sentiebatur oculis, Angelus erat: Deus autem in ipso loquebatur. Nam quemadmodum in columna nubis verba B ad Mosem in tabernaculo faciebat, ita quoque in Angelis apparens, per Angelum loquebatur. Cæterum, ea, quæ loquitur Deus, manifestum est, eum loqui per Verbum suum, & non per alium. Verbum autem, utpote non segregatum a patre, neque dissimile, neque alienum a substantia patris, quæcunque ab eo opera fiunt, ea quoque opera patris æstimanda sunt, idemque amborum opificium: & quæ dat filius, patris donatio est: & qui filium vidit, novit, se nequaquam Angelum, aut aliquid, quod majus est Angelis, aut ullam denique creaturam, sed ipsum patrem vidisse: & qui C Verbum audit, cognitum habet se patrem audire: quemadmodum qui a jubare irradiatur, certum habet, se a sole illuminari. Hocque ita a nobis intelligi volens, sacra Scriptura istiusmodi exempla in medium produxit, quibus & proditores Judæos pudefacere, & Græcorum calumnias refellere possumus, qui dicunt, & simul arbitrantur, nos, quia Trinitatem agnoscimus, plures deos agnoscere. Non enim, quemadmodum exemplo suprædicto similitudineque ostenditur, tria principia aut tres patres introducimus, sicuti Marcionistæ, & D Manichæi, cum non tres soles ad comparationem adducamus, sed unicum solem ejusque splendorem, unicamque ex ambobus lucem: ita unum principium agnoscimus, conditoremque dicimus non alium modum, quam unius numinis rationem habere, eo quod ex ipso soboles nata sit. Justius ergo Ariani de multis sive de nullis numinibus crimen sustinuerint, quippe qui filium aliunde quam ex patre prosatum, & creaturam velint, & Spiritum sanctum, cum non esset, ad essentiam perveniſſe deblaterent. Si enim Verbum aut Deum esse negent,

aut ob ſcripturas lingva duntaxat profiteantur, ſed tamen non proprium quiddam eſſe ex ſubſtantia patris concedent, fieri non poteſt, quin plura numina introducant ob diverſitatem naturarum, quas in perſonis Trinitatis conſtituunt: Niſi ſcilicet, quemadmodum ex participatu cæteraque omnia numina appellantur, ita quoque Verbum non vereantur numen facere. Quod ſi ſtatuant, majori adhuc impietate laboraverint, cum unum ex vulgo & promiſcuo grege Verbum eſſe opinentur. Sed abſit, ut unquam hujusmodi cogitatio alicui ex noſtris in mentem veniat. Una enim forma Deitatis, quæ eſt etiam in verbo: & unus Deus pater in ſeipſo, ut tamen in omnibus ſit, & in filio appareat, & ex filio agnoſcibilis deprehenſibilisque ſit, nihilo tamen minus per omnia penetret, idemque ita in Spiritu ſancto conſiſtat, ut tamen omnibus per Verbum in Spiritu operetur & agat. Atque ita unum per Trinitatem confitemur Deum, multoque pientius loquimur, quam ſi hæreticorum multiformem multifariamque Deitatem reciperemus, eo quod unam ſimplicemque in Trinitate divinitatem ſentiamus. Nam, ſi tale Verbum non eſt, ſed ex non ente, ens evaſit, creaturaque facta eſt, & opus quoddam exiſtat: relinquitur, ut vel non ſit verus Deus, cum ſit ex numero creaturarum: aut ſi pudore confuſioneque fracti a ſacris Scripturis, Deum illum verum eſſe confiteantur, neceſſario fit, ut duo ſimul numina agnoſcant, alterum creatorem, alterum creatum: duobusque Dominis inſerviant, alteri ingenito, alteri genito & creato, ut duas fides habeant, unam in verum Deum, alteram in conditicium & fictum ab ipſis, quem ipſi Deum vocant. Neceſſum eſt quoque eos ita obcæcatos, cum adorant increatum, depugnare cum creato: & cum addunt ſe creaturæ, adverſari creatorem. Non enim fieri poteſt, ob eam, quæ in ipſis eſt, naturarum diverſitatem, & diſſimiles in agendo vires, ut hunc in illo, aut illum in hoc agnoſcas, & videas. Quapropter, cum Ariani ejusmodi ſententiæ ſint, vitari omnino non poteſt, quin plura numina conſocient: Id enim facinus eorum, qui ab uno Deo deſciſcunt. Cur igitur Ariani cum hoc in ſenſu ſint, ſeſe non adnumerant Gentilibus? ſiquidem ambo, omiſſo omnium creatore Deo, creaturæ inſerviant. Sed illi, ad circumveniendos ſimpliciores, vocabulum Ethnicorum ſubterfugiunt: ſimilem tamen cum illis ſententiam fovent. Etenim ſophiſma illud, quod ſoliti ſunt dicere (non proferimus duo ἀγένητα) id deprehenduntur ad ſimpliciorem impoſturam dicere.

ἢ λέγοντες Θεὸν μὲν, διὰ τὸ γεγραμμένον· μὴ ἴδιον δὲ τῆς οὐσίας τοῦ πατρὸς, πολλοὺς ἂν εἰσάγοιεν, διὰ τὸ ἑτεροίδεες αὐτῶν, εἰ μὴ ἄρα κοινὴν μετοχὴν ὥσπερ καὶ τὰ πάντα Θεὸν λέγεσθαι· καὶ αὐτὸν λέγειν τολμήσουσιν· ἀλλὰ καὶ τοῦτο νομίζοντες μειζόνως ἀσεβοῦσιν, ἕνα τῶν πάντων λέγοντες τὸν Λόγον εἶναι. ἡμῖν δὲ τοῦτο μὴ εἰς τὸν νοῦν ποτε εἰσέλθοι· ἐν γὰρ εἶδος θεότητος, ὅπερ ἐστὶ καὶ ἐν τῷ Λόγῳ· καὶ εἷς Θεὸς ὁ πατὴρ· ἐφ' ἑαυτῷ ὢν καὶ τὸ ἐπὶ πάντων εἶναι· καὶ ἐν τῷ υἱῷ ὃ φαινόμενον καὶ τὸ διὰ πάντων διήκειν· καὶ ἐν τῷ πνεύματι δὲ καὶ τὸ διὰ τοῦ λόγου ἐν αὐτῷ ἐνεργεῖν, οὕτω καὶ ἕνα διὰ τῆς Τριάδος ὁμολογοῦμεν εἶναι τὸν Θεόν· καὶ πολὺ μᾶλλον ἀσεβέστερον λέγομεν τῆς πολυειδοῦς καὶ πολυμερῶς τῶν αἱρετικῶν θεότητος, ὅτι τὴν μίαν ἐν Τριάδι θεότητα φρονοῦμεν· εἰ γὰρ μὴ ὅτως ἔχοι, ἀλλ' ἐξ οὐκ ὄντων ποίημα καὶ κτίσμα ἐστὶν ὁ Λόγος, ἢ οὐκ ἔστι Θεὸς ἀληθινός· διὰ τὸ εἶναι αὐτὸν ἕνα τῶν κτισμάτων, ἢ εἰ Θεὸν αὐτὸν ὀνομάζουσιν ἐντρεπόμενοι τοὺς τῶν γραφῶν, ἀνάγκη λέγειν αὐτοὺς δύο Θεούς, ἕνα μὲν κτίσην, τὸν δὲ ἕτερον κτιστόν· καὶ δύο Κυρίοις λατρεύειν· ἑνὶ μὲν, ἀγεννήτῳ, τῷ δ' ἑτέρῳ, γεννητῷ καὶ κτίσματι· δύο τε πίστεις ἔχειν, μίαν μὲν, εἰς τὸν ἀληθινὸν Θεὸν, ἑτέραν δὲ, εἰς τὸν ποιηθέντα καὶ πλασθέντα παρ' αὐτῶν, καὶ λεχθέντα Θεόν. ἀνάγκη δὲ αὐτοὺς οὕτω τυφλωθέντας, ὅτε μὲν προσκυνεῖν τῷ ἀγεννήτῳ, καταγωνίζεσθαι τὸ γεννητόν· ὅτε δὲ προσέρχονται τῷ κτίσματι, ὑποπτεύεσθαι τὸν κτίσην. ὃ γάρ ἐστιν ἰδεῖν τοῦτον, ἐν ἐκείνῳ, διὰ τὸ ξένας καὶ διαφόρους εἶναι τάς τε φύσεις καὶ τὰς ἐνεργείας. οὕτω δὲ φρονοῦντες, πάντως καὶ πλείονας σωφάσι θεούς· τοῦτο γὰρ τὸ ἐκπεσόντων ἀπὸ τοῦ ἑνὸς Θεοῦ τὸ ἐπιχείρημα· διατί οὖν οἱ Ἀρειομανῖται τοιαῦτα λογιζόμενοι καὶ νοοῦντες, οὐ συναριθμοῦσιν ἑαυτοὺς μετὰ τῶν Ἑλλήνων; καὶ γὰρ κἀκεῖνοι, ὥσπερ ἔτοι, τῇ κτίσει λατρεύουσι παρὰ τὸν κτίσαντα τὰ πάντα Θεόν· ἀλλὰ τὸ μὲν ὄνομα τὸ Ἑλληνικὸν φεύγουσι διὰ τὴν τῶν ἀνοήτων ἀπάτην· τὴν δ' ὁμοίαν ἐκείνοις διάνοιαν ὑποκρίνονται· καὶ γὰρ καὶ τὸ σοφὸν αὐτῶν, ὅπερ εἰώθασι λέγειν. ὃ λέγομεν δύο ἀγένητα, φαίνονται πρὸς ἀπάτην τῶν ἀπείρων λέγοντες·

Φάσκοντες

Φάσκοντες γὰρ, ἃ λέγομεν δύο ἀγένητα, λέγουσι δύο θεοὺς, καὶ τούτοις διαφόρους ἔχοντας φύσεις· τὸν μὲν, γενητόν· τὸν δ' ἀγένητον· εἰ δ' οἱ μὲν Ἕλληνες ἑνὶ ἀγενήτῳ καὶ πολλοῖς γενητοῖς λατρεύουσιν· ἤτοι δ' ἑνὶ γενητῷ καὶ ἀγενήτῳ, οὐδ' ὅτῳ διαφέρουσιν Ἑλλήνων· ὅ, τε γὰρ παρ' αὐτῶν λεγόμενος εἷς γενητὸς, οὐ πολλῶν ἐστι, καὶ οἱ πολλοὶ πάλιν τῶν Ἑλλήνων, τὴν αὐτὴν τῷ ἑνὶ τούτῳ φύσιν ἔχουσι· καὶ ὅτως γε κἀκεῖνοι, κτίσματά εἰσιν· ἄθλιοι καὶ πλέον ὅσον ἐβλάβησαν τῆς Χριστοῦ φρονοῦντες· ἐξέπεσαν γὰρ τῆς ἀληθείας· καὶ τὴν μὲν Ἰουδαίων παράδοσιν ὑπέβησαν ἀρνούμενοι τὸν Χριστόν· τοῖς δ' Ἕλλησι συγκυλίονται, κτίσμασι καὶ διαφόροις θεοῖς λατρεύοντες οἱ θεοσυγεῖς· εἷς γάρ ἐστι, καὶ ὁ πολλοὶ, καὶ εἷς ὁ τούτου Λόγος, καὶ οἱ πολλοὶ, Θεὸς γάρ ἐστιν ὁ Λόγος, καὶ μόνος οὗτος ἔχει τὸ πατρικὸν εἶδος· ὅπερ ὢν αὐτὸς ὁ Σωτὴρ, ἐδυσώπει τοὺς Ἰουδαίους λέγων, ὁ πέμψας με πατὴρ, ἐκεῖνος μεμαρτύρηκε περὶ ἐμοῦ· ὅτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε· ὅτε εἶδος αὐτοῦ ἑωράκατε· καὶ τὸν Λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα· ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε· τὸν δ' Λόγον σωμάτωσε τῷ εἴδει καλῶς, ἵνα δείξῃ, ὅτι ὁ τοῦ Θεοῦ Λόγος, αὐτὸς καὶ εἰκὼν καὶ χαρακτὴρ καὶ εἶδος ἐστι τοῦ πατρὸς αὐτοῦ· καὶ ὅτι οἱ τὸν λαλοῦντα μὴ δεξάμενοι Ἰουδαῖοι, οὐκ ἐδέξαντο τὸν Λόγον, ὅπερ ἐστὶ τὸ εἶδος τοῦ Θεοῦ τοῦτον καὶ ὁ Πατριάρχης Ἰακὼβ ἑωρακὼς, ηὐλογήθη· καὶ ἀντὶ Ἰακὼβ, Ἰσραὴλ ἐκλήθη παρ' αὐτοῦ, ὡς ἡ θεία γραφὴ μαρτυρεῖ λέγουσα, ἀνέτειλε δ' αὐτῷ ὁ ἥλιος, ἰδοὺ καὶ παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ. τοῦτο δ' ἰδὼν ὁ λέγων, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ κἀγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· ὅτω γὰρ εἷς Θεός ἐστι· καὶ μία ἡ εἰς τὸν πατέρα καὶ εἰς τὸν υἱὸν πίστις· καὶ γὰρ τοῦ Λόγου ὄντος Θεοῦ, πάλιν Κύριος ὁ Θεὸς ἡμῶν Κύριός ἐστι· τοῦ γὰρ ἑνὸς, ἴδιος καὶ ἀδιαίρετός ἐστιν ὁ υἱός· καὶ τὴν ἰδιότητα καὶ οἰκειότητα τῆς οὐσίας· ἀλλ' οὐδ' ὅτως ἐντραπέντες οἱ Ἀρειομανεῖς φασιν· οὐχ ὡς ὑμεῖς λέγετε· ἀλλ' ὡς ἡμεῖς θέλομεν· εὑρήκαμεν γὰρ ὑμῶν τὰς προτέρας ἡμῶν ὑπονοίας, ἐφεύρομεν καινοτέρας καὶ λέγομεν, ὅτως ἐστὶν ὁ υἱὸς καὶ ὁ πατὴρ ἕν· καὶ ὅτως ἐστὶν ὁ πατὴρ ἐν τῷ υἱῷ καὶ ὁ υἱὸς ἐν τῷ πατρὶ, ὡς καὶ ἡμεῖς ἐν αὐτῷ γινόμεθα· τοῦτο γὰρ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ γέγραπται· ὁ περὶ ἡμῶν ὁ Κύριος ἠξίου λέγων·

A Nam cum inqviunt, se non duo ἀγένητα statuere, duo numina constituunt, eaqve diversæ naturæ: alterum increatum, alterum creatum. Jam si Ethnici uni increato inserviunt & multis creatis: isti autem uni increato & alteri creato, ne ita qvidem qvicqvam discriminis inter ipsos & Ethnicos fuerit, cum is, qvi ab ipsis creatus censetur, unus sit ex multitudine Gentilium deorum: & vicissim Gentiles dii eadem cum isto unico naturam possideant, itidemqve sint creaturæ, miseri & qvam maximo damno mulctati, dum de Christo male sentiunt: exciderunt enim a veritate, & Judæorum proditionem transcendunt, abnegantes Christum, & cum Ethnicis voluntantur, creaturis diversisqve numinibus inservientes. Unus enim est Deus, & non plures: & unum istius Verbum, & non plura. Nam Deus est Verbum, solumqve illud habet patriam formam, qvod ipsum cum esset Salvator noster, confundebat Judæos, dicens, *Pater, qvi misit me, ille testimonium dedit de me, neqve vocem ejus unqvam audivistis, neqve formam conspexistis, neqve Verbum ejus habetis in vobis permanens, qvoniam ei, qvem misit ille, fidem non habetis.* Joan. 5. Pulchre hic Verbum conjunxit formæ, ut palam faceret, se esse Verbum Dei, & imaginem, characterem, & speciem sui patris, Judæosqve, qvi loqventem non receperant, non recepisse Verbum, qvod est forma Dei. Hoc cum Patriarcha Jacob vidisset, benedictionem obtinuit, & pro Jacob Israël appellatus est ab eo, qvemadmodum sacra Scriptura testatur: *Sol autem illi exoriebatur, cum transiret species Dei.* Gen. 32. Hoc autem erat, qvod dicebat, *qvi me vidit, vidit & patrem meum: &, Ego in patre, & pater in me est: &, Ego & pater unum sumus:* Joan. 14. Joan. 10. ita enim unus est Deus, & una in patrem & filium fides: & qvia Verbum est Deus, fit, ut & Dominus & Deus noster sit, qvandoqvidem unius proprius est & indivisibilis filius, idqve secundum proprietatem & peculiaritatem substantiæ. Sed ne ita qvidem ad pudorem coguntur Ariani, qvibus hæc verba in ore sunt: Non ut vos dicitis, sed ut nos volumus: invenimus enim interea aliqvid novi, qvod dicamus, ex qvo priores nostras sententias subvertistis. Ita enim patrem & filium unum esse dicimus, & ita patrem in filio esse: & filium in patre, sicut & nos in illo sumus. Hoc enim in Evangelio Joannis Christus de nobis dignatus est loqvi:

Joan. 17. *Pater Sancte, serva eos in nomine tuo, quos dedisti mihi, ut sint unum, quemadmodum & nos.* Et paulo post, *Non pro illis rogo tantum, sed etiam pro his, qui credunt per Verbum eorum in me, ut omnes unũ sint, quemadmodum tu pater in me, & ego in te, ut & ipsi in nobis unum sint, ut mundus credat, te me misisse, & ego gloriam, quam dedisti mihi, dedi eis, ut unum sint, quemadmodum & nos unum sumus, ego in illis & tu in me, ut sint perfecti in unum, ut cognoscat mundus, quod me miseris.* Imo ut invenirent cavillationem dolosi, ista adjecerunt: *Si quemadmodum nos in patre unum sumus, ita ipse & pater unum sint, & ita in patre ille ipse existit: qui fit, ut ex istis verbis, ego & pater unum sumus: &, ego in patre & pater in me, proprium & similem substantiæ paternæ eum esse colligatis? Necesse siquidem est, & nos quiddam proprium substantiæ patris esse, aut illum ita esse alienum ab ea re, quemadmodum & nos alieni sumus.* Istiusmodi illi per delirium garriunt: ego autem in illorum perversitate animi nihil video, nisi irrationabilem audaciam & diabolicam vecordiam, ac par est, ut & ipsi pro diaboli more loquantur, Ascendamus in cœlum, & similes erimus Altissimo: quippe qui ea, quæ pro munere & gratia donantur hominibus, paria velint esse cum donatrice divinitate. Audientes siquidem, homines appellari filios Dei, arbitrati sunt se pares esse, æqualesque vero & naturali filio Dei. Idem rursum audientes ex Salvatore, *ut sint unum, quemadmodum & nos*, sumta per errorem nimia ferocitate, existimant sese ita futuros, ut filius est in patre, & pater in filio, nihil interim videntes, ex istiusmodi opinatione ruinam patris sui diaboli esse conciliatam. Si enim (ut sæpius jam dixi) idem Verbum est in nobis, quod est in Deo, neque id ullam præter quam ex modulo temporis differentiam habet, esto, sit simile Verbum Dei nobis, & eundem locum nobiscum apud patrem possideat, neque unigenitum, neque solum Verbum aut Sapientia patris appelletur, sed sit illud nomen omnibus nobis, qui illi similes sumus, ex æquo commune. Æquum enim est, ut quibus una natura, illis quoque commune sit vocabulum, etiamsi temporibus a se invicem discrepent. Homo enim Adam, homo & Paulus, homo etiam is, qui jam nascitur neque intervalla temporum generis naturam immutant.

Joan. 10. Joan. 14.

πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι. ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν· καὶ μετ' ὀλίγα, οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον· ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ Λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι· ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας· κἀγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν, ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ· ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας. εἶτα ὥσπερ δυρόντες φέφασιν, ἐπιλέγουσιν οἱ ἄθλιοι ταῦτα· εἰ ὥσπερ ἡμεῖς ἐν τῷ πατρὶ γινόμεθα ἕν, ἵνα καὶ αὐτὸς ὁ πατὴρ ἕν ἐστι, καὶ ἵνα ἓν ἐν τῷ πατρί ἐστι καὶ αὐτὸς, πῶς ὑμεῖς οὐκ τολμᾶτε λέγειν αὐτόν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, ἴδιον καὶ ὅμοιον τῆς τοῦ πατρὸς οὐσίας αὐτὸν φάσκετε, ἀναίσχυντον, ἢ καὶ ἡμᾶς ἰδίους εἶναι τῆς οὐσίας τοῦ πατρὸς, ἢ κἀκεῖνον ἀλλότριον εἶναι, ὥσπερ καὶ ἡμεῖς ἐσμεν ἀλλότριοι. ταῦτα μὲν οὖν ἐκεῖνοι ληρεῖν φλυαροῦσιν· ἐγὼ δ' ὅ τι ἕτερον ἐν τοιαύτῃ αὐτῶν κακονοίᾳ βλέπω, ἢ ἀλογίστον τὴν τόλμην, καὶ διαβολικὴν ὑπόνοιαν, λεγόντων αὐτῶν κατ' ἐκεῖνον, εἰς τὸν οὐρανὸν ἀναβησόμεθα, ὅμοιοι τῷ ὑψίστῳ ἐσόμεθα· τὸ γὰρ κατ' χάριν διδόμενα τοῖς ἀνθρώποις, ταῦτα θέλουσιν ἴσα τῆς τοῦ διδόντος εἶναι θεότητος· ἀκούοντες γοῦν, υἱὸς χρηματίζειν τοὺς ἀνθρώπους, ἐνόμισαν καὶ ἑαυτοὺς ἴσους εἶναι τοῦ ἀληθινοῦ καὶ φύσει υἱοῦ· καὶ νῦν πάλιν ἀκούοντες τοῦ Σωτῆρος, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς, πλανῶσιν ἑαυτούς· καὶ θρασυνόμενοι νομίζουσιν ὅτως ἑστάναι αὐτοὺς, ὡς ἔστιν ὁ υἱὸς ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν τῷ υἱῷ· οὐκ ὀρθοῦντες τὸ ἐκ τῆς τοιαύτης οἰκήσεως γνώμενον τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου πάθημα. εἰ μὲν οὖν, ὡς πολλάκις εἴπομεν, ὁ αὐτός ἐστιν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, καὶ οὐδὲν ἡμῶν διαφέρει, ἢ μόνῳ χρόνῳ, ἔστω ἡμῖν ὅμοιος· καὶ τὴν αὐτὴν ἐχέτω χώραν παρὰ τῷ πατρὶ, ἣν καὶ ἡμεῖς ἔχομεν· καὶ μήτε μονογενὴς, μήτε μόνος Λόγος, ἢ σοφία τοῦ πατρὸς λεγέσθω, ἀλλὰ κοινὸν ἔστω πάντων ἡμῶν τῶν ὁμοίων τὸ αὐτὸ ὄνομα· δίκαιον γάρ, ὧν ἐστιν ἡ φύσις μία, τούτων εἶναι καὶ τὸ ὄνομα κοινὸν, εἰ καὶ τοῖς χρόνοις ἀλλήλων διαφέρουσιν· ἄνθρωπος γὰρ ὁ Ἀδάμ, ἄνθρωπος ἦν καὶ ὁ Παῦλος· ἄνθρωπος ἦν ὁ νῦν γινόμενος, καὶ οὐκ ὀχρόνος ἀλλοιοῖ τὴν φύσιν τῶν γινομένων.

εἰ τοίνυν καὶ ὁ Λόγος χρόνῳ μόνον ἡμῶν διαφέρῃ, ἔδει, καὶ ἡμᾶς ὡς ἐκεῖνον εἶναι. ἀλλ' ὅτε ἡμεῖς Λόγος ἢ σοφία, ὅτε ἐκεῖνος κτίσμα, καὶ ποίημα τυγχανέτω ὤν· ἐπειδὴ δὲ πάντες διὰ τοῦ ἑνὸς γεγόναμεν, καὶ μόνος ἐστὶν αὐτὸς Λόγος. ἀλλὰ γὰρ εἰ καὶ ἐκείνοις λέγειν τοιαῦτα πρέπει, ἀλλ' ἡμῖν ἀπρεπὲς ἐνθυμεῖσθαι τὰς ἐκείνων βλασφημίας· ἀλλὰ περιεργάζεσθαι τῷ ῥητῷ ἐχέτω, μηδὲ τοῦτο φανερὸν καὶ δυσεβῆ διδάσκοντα, καὶ τοῦ ἐν ἡμῖν ὀρθοῦ πίστιν· ὅμως ἵνα καὶ ἐντεῦθεν δειχθῶσιν ἀσεβεῖς, φέρε σωφρόνως ὡς πρὸς τὴν πατέρων μεμαθηκότες, ἐκ τοῦ ῥητοῦ τὴν ἑτερόδοξίαν ἐκείνων ἐλέγξωμεν· ἔθος τῇ γραφῇ, τὰ κατὰ φύσιν ὄντα πράγματα, ταῦτα τοῖς ἀνθρώποις εἰς εἰκόνας καὶ πρὸς παράδειγμα λαμβάνειν. τοῦτο οὖν ποιεῖ, ἵνα ἐκ τῆς κατὰ φύσιν ἐκείνων, τὰ ἐκ προαιρέσεως φαίνηται κινήματα τῶν ἀνθρώπων καὶ ὅτως, ἢ φαῦλα, ἢ δίκαια ὁ τούτων δείκνυται τρόπος. ὅπου μὲν τῶν φαύλων, ὡς ἐνταῦθα πρὸς Γαλλῆνα, μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἢ καὶ ὅταν μεμφόμενος οὕτω γογγύζοντας, λέγῃ, ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε· πρὸς τοὺς κτίσεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. καὶ πάλιν· ἵπποι θηλυμανεῖς ἐγένοντο· καὶ ὁ Σωτὴρ δὲ τὸν μὲν Ἡρῴδην δείκνυς ὁποῖός ἐστιν, ἔλεγε, εἴπατε τῇ ἀλώπεκι ταύτῃ. τοῖς δὲ Ἀποστόλοις ἔλεγε· ἰδοὺ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί· ἔλεγε δὲ τοῦτο, οὐχ ἵνα τῇ φύσει γινώμεθα ὄφεις καὶ περιστεραί· οὐδὲ γὰρ οὕτως αὐτὸς ἡμᾶς πεποίηκεν· διὸ οὐδὲ τοῦτο οἶδεν ἡ φύσις· ἀλλ' ἵν' ἡμεῖς τῶν μὲν ἀλόγων ὁρμὰς φεύγωμεν, τοῦ δὲ φρονίμου ἵνα γινώσκοντες, μὴ ἀπατώμεθα παρ' αὐτοῦ, καὶ τῆς περιστερᾶς τὸ πρᾶον ἀναλάβωμεν· ὅπου δὲ τῶν θείων, εἰκόνας πάλιν τοῖς ἀνθρώποις λαμβάνων, φησὶν ὁ Σωτήρ· γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς οἰκτίρμων ἐστὶ, καὶ, ἔσεσθε ὑμεῖς τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν· ἔλεγε δὲ τοῦτο, οὐχ ἵνα γινώμεθα πάλιν, ὡς ὁ παλαιός· γλυκὺ γὰρ ἡμᾶς, ὡς ὁ παλαιὸς ἀδύνατον χεῖσμα ὄντας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γενομένους· ἀλλ' ὥσπερ, οὐχ ἵνα μὴ γλυκάνωμεν πατρήσαι, μὴ γένεσθε, ὡς ἵππος· ἵνα (δὲ) μὴ τὸ ἄλογον ἐκείνων μιμησώμεθα· οὕτως οὐχ ἵνα γινώμεθα, ὡς ὁ Θεὸς, ἔλεγε. γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ.

A Si igitur Verbum tempore duntaxat a nobis differt, æqvum erat, & nos tales esse, qvalis est ille. Atqvi neqve nos Verbum, aut sapientia: neqve ille creatura, aut opus existimari potest: ex uno enim omnes non sumus, cum tamen ille solus sit Verbum? Cæterum, si illis decorum est talia audire, nobis tamen qvam maxime indecorum est, vel semel de illorum blasphemiis cogitare. Qvod si hujusmodi dicta minime curiose excuti oportuit, cum se oculis ultro ingerat tam clara & pia sententia, & tam recta fides: tamen ut etiam hic declarentur impii esse: age compendio, ut a patribus didicimus, ex ipso dicto, illorum in opinando
B diversitatem refutemus. Mos est divinæ scripturæ, res naturales hominibus in similitudinem & exempla proponere: id autem facit, ut ex illis naturalibus motus hominum, qvi ultro voluntate suscipiuntur, manifestius appareant, eorumqve mores, vel mali, vel justi, magis in conspicuo sint. In malis qvidem moribus, ut cum dicit: *Ne sitis sicuti eqvus & mulus, in qvibus non est intellectus:* aut cum eos incusat, qvi tales facti sunt: *Homo*, inqviens, *cum esset in honore, non intellexit: comparatus est jumentis* Psal. 31.
C *nullo intellectu praditis, & similis factus est illis:* aut rursum, *Eqvi salaces facti sunt.* Salvator qvoqve Herodem qvalis esset, declarans, ad istum modum locutus est: *Dicite vulpi illi.* Discipulos item his verbis admonuit: *Ecce emitto vos, ut oves in medio luporum: sitis igitur prudentes, ut serpentes, & simplices, sicuti columbæ.* Qvæ qvidem verba ideo locutus est, non ut naturaliter jumenta efficeremur, aut serpentes, & columbæ: non enim tales ipse nos condidit, ac proinde nihil tale ipsa natura recipit: sed ut nos luporum qvidem impetus affectusqve irrationales defugeremus, serpentis autem prudentiam animadvertentes, non
D sineremus nos fraudibus circumveniri: & ex columba mansvetudinem mutuaremur. Ex rebus autem divinis similitudines vicissim hominibus decerpens, Salvator ait: *Sitis misericordes, ut pater vester cæleMatth. 10. Luc. 10. Luc. 6.*
stis misericors est. Et, *Eritis perfecti, ut pater vester cælestis perfectus est.* Dixit illud, non, ut essemus tale aliqvid, qvale pater est, qvod fieri neqvit, cum creaturæ simus, & e nihilo conditi, sed qvemadmodum, ne jumenta efficeremur, sub his verbis interdixit: *Nolite fieri sicuti eqvus & mulus*, ne eorum irrationabilitatem æmularemur: ita & hoc qvoqve non ut essemus, qvalis Deus est, prolocutus est: *Sitis misericordes, ut pater vester:*

sed ut respectu beneficiorum ejus, qvæcunqve bona facimus, non propter homines, sed propter illum faciamus, ab eo, & non ab hominibus mercedem captantes, & ut nos, qvamvis ipse solus sit filius naturalis & verus, & unigenitus, filii qvoqve efficiamur, non qvidem ut ille, naturales & veri, sed per gratiam ejus, qvi nos vocat: & ut nos, qvanqvam homines terreni sumus, Dei tamen appellatione cohonestemur: non qvod tales simus, qvalis verus Deus aut illius Verbum: sed pro ea ratione & modo, qvo voluit is, qvi hoc largitus est, Deus. Itidem qvoqve, ut Deus, misericordes efficeremur, non adæqvati Deo, neqve naturales aut veri benefactores redditi, non enim ex nostris rebus est, qvod benefacimus, sed ex Dei, ut qvæ per gratiam Dei ad nos perveniant, ea & nos aliis impertiamur sine curiositate delectus, sed simpliciter studio benefaciendi in omnes porrecto. Hac enim ratione saltem aliqvo modo ejus imitatores effici poterimus, & non aliter, qvatenus ea, qvæ a Deo sunt, invicem in nos mutuo submini-
stremus. Ut igitur bene & recte eo sensu hæc verba intelliguntur, ita qvoqve in verbis Joannis similis intellectus constituendus est, & non prout filius est in patre, ita & nos simus. Qvi enim, aut unde id fieri poterit, cum ipse sit Verbum & sapientia Dei, nos autem terreni, ipse natura & essentia Verbum, & verus Deus?
Joan. 5. ita enim loqvitur Joannes: *Scimus, venisse Dei filium, & dedisse nobis intellectum, ut cognosceremus verum Deum, & sumus in vero, nimirum in filio ejus Jesu Christo. Hic est verus Deus & vita æterna:* nos contra, non natura, sed adoptione & gratia filii reddimur per eum, idqve participatu ipsius Spiritus.
Joan. 1. *Qvotqvot enim*, inqvit, *receperunt eum, dedit illis, qvi crediderunt in nomine ipsius, potestatem, ut efficerentur filii Dei.* Qvapropter ille qvidem est veritas, qvæ ita loqvitur, *Ego sum veritas:* ideoqve cum patrem suum alloqveretur, dixit, *Sanctifica*
Joan. 14. *eos in veritate tua: tuus sermo veritas est.*
Joan. 17. Nos autem contra, per imitationem virtute imbuimur, & reddimur filii. Non igitur, ut nos essemus, qvalis ipse, dictum est ab eo, ut unum sint, qvemadmodum & nos sumus: sed ut qvemadmodum ille, utpote Verbum in patre suo est, ita qvoqve & nos aliqva similitudine & qvasi formula, dum in eum respicimus, efficeremur unum, una inter nos & mutua concordia animi & spiritus unitate, nec dissentiamus, ut Corinthii,

ἀλλ' ἵνα πρὸς ταῖς εὐεργεσίαις ἐκείνῳ βλέποντες, ἃ ποιοῦμεν καλὰ, μὴ δι' ἀνθρώπους, ἀλλὰ δι' αὐτὸν ποιῶμεν· ὥστε παρ' αὐτοῦ, καὶ μὴ παρὰ ἀνθρώπων τὸν μισθὸν ἔχειν· ὡς γὰρ ἑνὸς ὄντος τοῦ υἱοῦ φύσει, καὶ ἀληθινοῦ, καὶ μονογενοῦς, γινόμεθα καὶ ἡμεῖς υἱοὶ, οὐχ ὡς ἐκεῖνος, φύσει καὶ ἀληθείᾳ, ἀλλὰ κατὰ χάριν τοῦ καλέσαντος· καὶ ἄνθρωποι τυγχάνοντες ἀπὸ γῆς, θεοὶ χρηματίζομεν· οὐχ ὡς ὁ ἀληθινὸς Θεὸς, ἢ ὁ τούτου Λόγος· ἀλλ' ὡς ἠθέλησεν ὁ τοῦτο χαρισάμενος Θεός. Οὕτω καὶ ὡς ὁ Θεὸς, οἰκτίρμονες γινόμεθα, οὐκ ἀξιόμισθοι τῷ Θεῷ, οὐδὲ φύσει καὶ ἀληθινοὶ εὐεργέται γινόμενοι· οὐδὲ ἡμῶν εὕρημα τὸ εὐεργετεῖν, ἀλλὰ τοῦ Θεοῦ, ἵνα ᾖ τὰ παρ' αὐτοῦ διὰ Θεοῦ καὶ χάριν εἰς ἡμᾶς γιγνόμενα, ταῦτα καὶ ἡμεῖς μεταδιδῶμεν εἰς ἑτέρους μὴ διακεινόμενοι, ἁπλῶς ὡς εἰς πάντας ἐκτείνοντες τὴν εὐποιΐαν. καὶ τότε γὰρ μόνον δυνάμεθά πως αὐτοῦ μιμηταὶ γενέσθαι, καὶ οὐκ ἄλλως, ὅτι τὰ παρ' αὐτοῦ διακονοῦμεν ἀλλήλοις. ὥσπερ οὖν ταῦτα ὀρθῶς καὶ καλῶς διανοούμεθα, οὕτως καὶ τὸ κατὰ Ἰωάννην ἀνάγνωσμα, τὸν αὐτὸν ἔχει διανοίαν· οὐδὲ ὡς ἔστιν ὁ υἱὸς ἐν τῷ πατρὶ, οὕτως ἵνα καὶ ἡμεῖς γενώμεθά φησι πόθεν ὅπου μὲν, ὁ Λόγος καὶ σοφία τοῦ Θεοῦ ἐστιν· ἡμεῖς δὲ, ἐκ γῆς ἐπλάσθημεν· καὶ ὁμὲν, φύσει καὶ τῇ οὐσίᾳ Λόγος ὢν Θεὸς ἀληθινός ἐστιν· οὕτω γὰρ καὶ ὁ Ἰωάννης φησὶν, οἴδαμεν, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει· καὶ ἔδωκεν ἡμῖν διανοίαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν· καί ἐσμεν ἐν τῷ ἀληθινῷ ἐν τῷ υἱῷ αὐτοῦ, Ἰησοῦ Χριστῷ, οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ ἡ αἰώνιος· ἡμεῖς δὲ θέσει καὶ χάριτι γιγνόμεθα διὰ αὐτὸν, μετέχοντες τοῦ πνεύματος αὐτοῦ· ὅσοι γάρ, φησὶν, ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· διὸ καὶ αὐτὸς μὲν ἐστιν ἀλήθεια, λέγων, ἐγώ εἰμι ἡ ἀλήθεια· ὅτε καὶ τῷ πατρὶ αὐτοῦ συνομιλῶν, ἔλεγεν· ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν· ἡμεῖς δὲ κατὰ μίμησιν γινόμεθα ἀνάρχετοι καὶ υἱοί· οὐκοῦν οὐχ ἵνα, ὡς αὐτὸς, γενώμεθα ἔλεγεν, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς· ἀλλ' ἵνα ὥσπερ ἐκεῖνος Λόγος ὢν ἐστιν ἐν τῷ ἰδίῳ πατρὶ, οὕτως ἵνα καὶ ἡμεῖς τύπον τινὰ λαβόντες, καὶ εἰς ἐκεῖνον βλέποντες, γενώμεθα ἓν πρὸς ἀλλήλους τῇ ὁμοψυχίᾳ, καὶ τῇ τοῦ πνεύματος ἑνότητι, μὴ διαφωνῶμέν τε, ὡς οἱ Κορινθιοι

τὸ αὐτὸ ᾖ φρονῶμεν, ὡς οἱ ἐν ταῖς πράξεσι πεντακισχίλιοι· οἵτινες ὡς εἷς ἐτύγχανον ὄντες. ὡς γὰρ υἱοί, οὐχ ὡς ὁ υἱός· καὶ θεοί, οὐχ ὡς αὐτός· καὶ οἰκτίρμονες, ὡς ὁ πατὴρ, οὐχ ὡς ὁ πατήρ. ἀλλ' ὥσπερ εἴρηται, ἵνα ὦμεν ἓν, καθὼς ὁ πατὴρ καὶ ὁ υἱὸς, οὐχ ἵνα ἐσόμεθα, ὡς ἔστι φύσει ὁ πατὴρ ἐν τῷ υἱῷ, καὶ ὁ υἱὸς ἐν τῷ πατρί· ἀλλ' ὡς ἔχομεν φύσεως· ἡ δυνατὸν ἡμῖν ἐστιν ἐκεῖθεν τυπωθῆναι καὶ μαθεῖν, πῶς ὀφείλομεν ἐν ἔσεσθαι, ὥσπερ ἐστὶ τὸ οἰκτείρειν ἐμάθομεν· τὰ γὰρ ὅμοια, πρὸς τὰ ὅμοια πέφυκε τὴν ἕνωσιν ἔχειν· ἐπειδὴ καὶ πᾶσα σὰρξ, πρὸς τὸ ἴδιον συνάγεται. ἡμῖν μὲν οὖν ἀνόμοιός ἐστιν ὁ Λόγος τοῦ πατρὸς ὅμοιος· διὰ τοῦτο καλεῖται μέν ἐστι φύσει καὶ ἀληθείᾳ ἓν, μὴ τὸ ἑαυτὸ πατρός· ἡμεῖς δὲ, ἀλλήλων ὄντες ὁμογνεῖς· ἐκ γὰρ ἑνὸς, οἱ πάντες γεγόναμεν, καὶ μία πάντων ἀνθρώπων ἡ φύσις· ἐν πρὸς ἀλλήλοις τῇ διαθέσει γινόμεθα· ἔχοντες ὑπογραμμὸν τὸν τοῦ υἱοῦ πρὸς τὸν πατέρα φυσικὴν ἑνότητα. καθάπερ γὰρ τὴν πραότητα ἐξ αὐτοῦ ἐδίδαξε λέγων· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐχ ἵνα ἐξισωθῶμεν αὐτῷ· ἀδυνάτου γάρ· ἀλλ' ἵνα βλέποντες εἰς ἐκεῖνον, διαμένωμεν πρᾶοι διὰ παντός· οὕτω καὶ ἐνταῦθα θέλων ἡμᾶς, καὶ ἀληθῆ καὶ βεβαίαν καὶ ἀδιάλυτον τὴν διάθεσιν ἔχειν πρὸς ἀλλήλους, ἐξ ἑαυτοῦ λαμβάνει τὸ παράδειγμα· καί φησι· ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς· ἀδιαίρετον δέ ἐστιν ἡ ἐν ἡμῖν ἑνότης· οὕτως ἵνα καὶ αὐτοὶ μαθόντες ἐξ ἡμῶν τὴν ἀδιαίρετον φύσιν, οὕτω καὶ τὴν πρὸς ἀλλήλους συμφωνίαν διαφυλάττωσιν· ἀσφαλεστέρα γὰρ ἡ μίμησις ἐν τοῖς καὶ φύσιν λαμβάνεται τοῖς ἀνθρώποις, καθάπερ εἴρηται. ἐπειδὴ γὰρ ταῦτα μὴ καὶ ὅποτε μεταβάλλεται· ὁ δὲ τῶν ἀνθρώπων τρόπος ἀμεταβλήτου τυγχάνει, δύνανται πρὸς τὸ ἀμετάβλητον τῆς φύσεως βλέπων, τὰ μὲν φαῦλα φεύγειν· ἐν δὲ τοῖς βελτίοσιν, ἑαυτὸν ἀνατυποῦν· καὶ γὰρ καὶ ὅτως καὶ τὸ λεγόμενον ἵνα καὶ αὐτοὶ ἓν ἐν ἡμῖν ὦσιν· ὀρθὸν ἔχει πάλιν τὸν διωρισμόν· εἰ γοῦν δυνατὸν ἦν γενέσθαι ἡμᾶς ὡς υἱὸς ἐν τῷ πατρὶ, ἔδει λέγειν, ἵνα καὶ αὐτοὶ ἐν σοὶ ἓν ὦσιν, ὥσπερ ἐστὶν ὁ υἱὸς ἐν τῷ πατρί· νυνὶ δὲ τοῦτο μὲν οὐκ εἴρηκε· λέγων δὲ τὸ ἐν ἡμῖν, ἔδειξε τὴν διάστασιν καὶ τὴν διαφοράν· ὅτι αὐτὸς μὲν, μόνος ἐν μόνῳ τῷ πατρί ἐστιν ὡς Λόγος μόνος καὶ Σοφία· ἡμεῖς δὲ ἐν υἱῷ,

A sed ita concordes simus, ut qvinqve illa millia in Actibus Apostolorum, qvi qvasi unus homo censeri poterant. Ut enim filii, non autem, ut ille filius; & ut dii, non autem, ut ille ipse Deus, & misericordes, veluti pater, non ut pater, sed ita unum, ut dictum est, simus qvemadmodum pater & filius, non, qvod futuri simus ita, ut pater naturaliter est in filio, aut filius in patre: sed pro nostra natura & qvatenus fieri potest, ut inde formulam similitudinemqve mutuemur, discamusqve, nos oportere unum esse, ea ratione, qvam in miserendo paulo ante didicimus. Similia enim cum similibus naturalem qvandam conjunctionem & coadunitionem habere solent: siqvidem omnis caro secun-
B dum suum genus in unum conciliatur. Nobis qvidem igitur dissimile est Verbum, qvod tamen simile est suo patri. Qvapropter illud qvidem natura & ex vero unum est cum suo patre: nos autem invicem inter nos cognati, & ex uno omnes progeniti, & una omnium hominum natura, unum inter nos affectu & animo efficimur, habentes pro archetypo exemplari filii cum patre naturalem unitatem. Ut enim mansvetudinem de se docuit his verbis: *Discite a me, qvod mitis sum,* Matth. 11.
& humilis corde: non qvidem, ut coæ-
C qvemur illi, cum hoc sit impossibile: sed ut in eum respicientes, mansveti perseveremus in omni tempore, ita etiam isthic volens nos vero & firmo, & indissolubili invicem affectu conciliatos esse, ex sese mutuatus est exemplum, & dicit: *Ut sint unum, qvemadmodum & nos*, utqve in nobis est indivisibilis unitas, ita qvoqve & ipsi addiscentes ex nobis indivisibilem nostram naturam, inter se perpetuo concordiam servent: certior enim imitatio hominibus, qvæ ductum rerum naturalium seqvitur. Nam qvoniam permanent ista, nec unqvam immutantur, mores contra homi-
D num inconstantes sunt, possunt tamen ad immutabilem naturam respicientes, mala defugere, & ad bona seipsos reformare: nam ita hoc dictum (*ut & ipsi in nobis unum sint*) rectam accipit interpretationem. Certe, si posibile esset, ut ita essemus, ut est in patre filius, verba illa ad istum modum concipienda fuissent, ut & ipsi in te unum sint, sicuti filius est in patre: nunc autem ad istam formam locutus non est, sed cum dixisset (in nobis) rei discrimen differentiamqve expressit: nimirum, ipsum solummodo in solo patre esse, ut unicum & solum Verbum, & unicam & solam sapientiam: nos autem in filio esse,

& per filium in patre, id nihil aliud sibi vult, qvam homines qvoqve pro nostra unitate tales inter se fieri posse, qvales nos inter nos unum sumus natura & veritate, qvod alioqvi nunqvam fieret, nisi exemplum unitatis in nobis didicerint. Hoc autem verbum, in nobis, hanc habere significationem audias ex Paulo ita loqvente: *Hæc qvidem figurate transtuli in me, & Apollo, ut in nobis discatis nos inflari, spirituqve turgescere, super id, qvod scriptum est.* Illud igitur Verbum, in nobis, non est in patre, ut est filius in ipso: sed exemplum est & similitudo, qvasi si dicas, ex nobis condiscant: ut enim Paulus est forma Corinthiis, ita patris & filii unitas præscriptum qvoddam documentum est omnibus, secundum qvod possunt discere, dum respiciunt naturalem unitatem patris & filii, qvomodo & ipsi debeant inter se unum fieri per concordiam animorum. Qvod si aliter respondendum est super hoc dicto, potest hoc verbum, in nobis, idem valere significatu, ac si dicas, patris & filii viribus effici, ut unum fiant. Sine Deo enim hoc fieri neqvit, idemqve videre licet in divinis eloqviis: ut, *In Deo faciemus virtutem:* &, *in Deo transgrediar murum:* &, *In te inimicos nostros cornu ventilabimus.* Liqvet igitur, nos in nomine patris & filii unum factos, posse retinere firmum dilectionis vinculum. Rursus eandem sententiam extendens Dominus: *Ego*, inqvit, *gloriam, qvam dedisti mihi, dedi istis, ut sint unum, qvemadmodum nos unum sumus.* Recte qvoqve & hic non dixit, ut unum sint in te, qvemadmodum ego sum: sed qvemadmodum nos sumus. Qvi enim dicit, qvemadmodum, non identitatem, sed similitudinem & exemplum ejus, de qvo loqvitur, significat. Verbum igitur jure & essentialiter identitatem naturæ cum patre obtinet: nobis autem datum est, ut imitemur, qvemadmodum dictum est, nam statim subintulit, *Ego in illis, & tu in me*, ut absolute in unum perficiantur. Qvo loco in posterum majus qviddam, perfectius a nobis Dominus postulavit. Certum enim est, Verbum in nobis esse factum, qvippe qvod nostrum corpus induerit, Tu autem in me, pater, tuum enim sum Verbum, & qvia tu in me, eo qvod tuum sim Verbum, ego porro in illis per corpus meum, & qvia per te in me hominum salus perficitur, rogo te, ut & ipsi fiant unum,

1. Cor. 4.

Psl. 60. Psl. 18. Psl. 44.

Joan. 17.

A καὶ δι' αὐτοῦ ἐν τῷ πατρί· τοῦτο δὲ λέγων· ὃ δ' ἕν ἕτερον ἐσήμανεν, ἢ ὅτι τῇ ἡμῶν ἑνότητι γίνοιντο καὶ αὐτοὶ ἓν πρὸς ἀλλήλους ἕτως, ὡς ἡμεῖς ἕν ἐσμεν φύσει καὶ ἀληθείᾳ· ἄλλως γὰρ οὐκ ἂν γένοιντο ἓν, εἰ μὴ ἐν ἡμῖν μάθωσι τὴν ἑνότητα· καὶ ὅτι τὸ ἐν ἡμῖν ταύτην ἔχει τὴν σημασίαν, ἀκούσας Παύλου λέγοντος ἐσι ταῦτα δὴ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε, τὸ μὴ ὑπὲρ ἃ γέγραπται φυσιοῦσθαι· τὸ ἄρα, ἐν ἡμῖν, οὐκ ἔστιν ἐν τῷ πατρὶ, ὡς ἐστιν ὁ υἱὸς ἐν αὐτῷ· ἀλλὰ παράδειγμα καὶ εἰκών, αὐτὴ τοῦ εἰπεῖν, ἐξ ἡμῶν μαθητῶσαν· ὡς γὰρ ὁ Παῦλος τοῖς Κορινθίοις,

B ἕτως ἡ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἑνότης, τοῖς πᾶσιν ὑπογραμμὸς καὶ μάθησίς ἐσι· καθ' ὃν δύνανται μαθεῖν, βλέποντες εἰς τὴν κατὰ φύσιν ἑνότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, πῶς καὶ αὐτοὶ ὀφείλουσιν ἓν πρὸς ἀλλήλους γένεσθαι τῷ φρονήματι· εἰ γὰρ δεῖ καὶ ἑτέρως ἀπολογήσασθαι πρὸς τοῦτο τὸ ῥητὸν, δύνασαι πάλιν τὸ, ἐν ἡμῖν, ἴσον εἶναι τῷ λέγειν, τῇ δυνάμει τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἵνα ἓν γένωνται, τὸ αὐτὸ λέγον-

C τες· αὕτη γὰρ Θεοῦ τοῦτο γένεσθαι ἀδύνατον· διὸ τοῦτο πάλιν ἐσὶν εὑρεῖν ἐν τοῖς θείοις λόγοις, ὡς, ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, ἐν τῷ Θεῷ ὑπερβήσομαι τεῖχος· καὶ ἐν σοὶ σοῦ ἐχθροὺς ἡμῶν κερματίσομεν· σαφὲς δῆλον, ὅτι ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ, δυνάμεθα τὸ ἓν γνώμην, βέβαιον ἔχειν τῆς ἀγάπης τὸν σωδεσμόν· πάλιν γὰρ τὴν αὐτὴν διανοίαν ἐκτείνων, φησὶν ὁ Κύριος· κἀγὼ τὴν δόξαν,

D ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς ἕν. καλῶς καὶ ἐνταῦθα οὐκ εἶπεν, ἵνα ὦσιν ἐν σοὶ, ὡς κἀγὼ εἰμὶ· ἀλλὰ καθὼς ἡμεῖς εἶπεν· ὃ λέγων, καθὼς, ἀ ταὐτότητα δείκνυσιν· ἀλλ' εἰκόνα καὶ παράδειγμα τοῦ λεγομένου· ὁ μὲν γὰρ Λόγος τὴν ὄντως καὶ ἀληθῶς ταὐτότητα τῆς φύσεως τοῦ πατρὸς ἔχει πρὸς ἡμᾶς· ὃ ἄρα τὸ μιμεῖσθαι παρέσεσιν, ὥστε εἰρῆσθαι· καὶ γὰρ δι' ἡμᾶς ἐπήγαγε, λέγων· ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. ἐνταῦθα λοιπὸν, μεῖζόν τι καὶ τελειότερον παρ' ἡμῶν ὁ Κύριος αἰτεῖ· δῆλον γὰρ, ὡς ἐν ἡμῖν γέγονεν ὁ Λόγος. τὸ γὰρ ἡμέτερον ἐνεδύσατο σῶμα· καὶ σὺ ἐν ἐμοὶ, πατὴρ σοῦ γάρ εἰμι Λόγος· καὶ ἐπειδὴ σὺ μοὶ ἐν ἐμοὶ, ὅτι σοῦ Λόγος εἰμὶ· ἐγὼ ἐν αὐτοῖς διὰ τὸ σῶμα· διὰ σὲ τετελείωται ἐν ἐμοὶ τὰ τῆς ἀνθρώπων σωτηρία, ἐρωτῶ, ἵνα καὶ αὐτοὶ γένωνται ἕν.

κ᾽ τὸ ἐν ἐμοὶ σῶμα, καὶ κ᾽ τὸν αὐτὸ τελείω-
σιν· ἵνα αὐτοὶ τέλειοι γένωνται, ἔχοντες πρὸς
τοῦτο τὴν ἑνότητα, καὶ εἰς αὐτὸν ἓν γίνομενοι· ἵνα
ὡς πάντες φορεθέντες παρ᾽ ἐμοῦ, πάντες ὦσιν
ἓν σῶμα, κ᾽ ἓν πνεῦμα· καὶ εἰς ἄνδρα τέλειον
καταντήσωσιν· οἱ γὰρ πάντες ἐσμὲν τοῦ αὐτοῦ λαμ-
βάνομεν, ἓν γινόμεθα σῶμα, τὸν ἕνα Κύριον
ἐν ἑαυτοῖς ἔχοντες. Ταύτην ἔχοντα τοῦ ῥητοῦ τὴν
διάνοιαν, μᾶλλον ἐλέγχεται ἡ ἀλλοδοξία τῶν
ἐχθρομάχων· πάλιν γὰρ ἐπαναλαμβάνων φη-
μί· εἰ μὴ ἁπλῶς καὶ ἀπολελυμένως εἰρηκεν,
ἵνα ὦσιν ἐν σοὶ ἓν, ἢ, ἵνα αὐτοὶ, κἀγὼ ἐν σοὶ ἓν
ὦμεν· εἶχον ἂν διαίχμιον τοῦτο φάσιν οἱ θεο-
μάχοι· νῦν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ καθὼς
σὺ πάτερ ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα πάντες
ἓν ὦσιν. λέγων δὲ πάλιν, καθὼς, πόρρωθεν δεί-
κνυσι τοὺς γνησίους, ὡς αὐτός ἐστιν ἐν τῷ πα-
τρὶ, πόρρωθεν δὲ τόπῳ, ἀλλὰ τῇ φύσει· οὐ-
δὲν γὰρ τόπῳ μακρὰν ἀπὸ τοῦ Θεοῦ· ἀλλὰ μό-
νῃ τῇ φύσει πάντα μακρὰν αὐτοῦ ἐστι· καὶ καθὰ
προεῖπον, οὐ ταυτότητα, οὐδὲ ἰσότητα δείκνυ-
σιν ὁ λέγων τὸ, καθὼς, ἐπίῤῥημα· ἀλλὰ τοῦδε
δείγματος λεγομένου καλῶς θεωρουμένου· καὶ
τοῦτο πάλιν παρ᾽ αὐτοῦ τοῦ Σωτῆρος ἔστι μαθεῖν
λέγοντος, καθὼς γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ
κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσ-
ται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς
γῆς· οὔτε γὰρ Ἰωνᾶς ἦν ὥσπερ ὁ Σωτὴρ, οὔτε Ἰωνᾶς
εἰς τὸν ᾅδην κατῆλθεν· οὔτε τὸ κῆτος ᾅδης·
ἀλλ᾽ οὐδὲ καταποθεὶς ὁ Ἰωνᾶς, ἀνήγαγε
τοὺς καταποθέντας ὑπὸ τοῦ κήτους· ἀλλὰ μό-
νος σωθεὶς ἐκ τοῦ κήτους ἐξῆλθεν· οὐκοῦν οὐ-
δεμία ταυτότης, οὐδὲ ἰσότης ἐν τῷ, καθὼς,
λέξει σημαινέσθω· ἀλλὰ ἄλλου καὶ ἄλλο ὁ-
μοιότητα γὰρ δείκνυσι τοῦ Ἰωνᾶ, διὰ τὸ τεμ-
μένον. οὕτως οὖν καὶ ἡμεῖς λέγομεν τοῦ Κυ-
ρίου, καθὼς, ὅτε ὡς υἱὸς γινόμεθα ἐν πατρὶ,
ὅτε ὡς ὁ πατὴρ ἐστιν ἐν τῷ υἱῷ, οὕτως γινόμε-
θα, ἡμεῖς γὰρ καθὼς ὁ πατὴρ καὶ ὁ υἱὸς, οὕ-
τως γινόμεθα ἐν τῷ πνεύματι, καὶ τῇ τοῦ
πνεύματος συμφωνίᾳ· ὁ γὰρ Σωτὴρ, καθὼς Ἰω-
νᾶς ἐκβὰς ἐν τῇ γῇ· ὡς γὰρ οὐκ ἔστιν Ἰωνᾶς ὁ
Σωτήρ· οὐδὲ ὡς ἐκεῖνος κατεπόθη, οὕτως καὶ
ὁ Κύριος κατῆλθεν εἰς τὸν ᾅδην· ἀλλὰ ἄλλο
καὶ ἄλλο ἐστίν· οὕτω καὶ ἡμεῖς ἐὰν γενώμεθα ἓν, κα-
θὼς ὁ υἱὸς ἐν τῷ πατρὶ, οὐκ ἐσόμεθα, ὥσπερ ὁ υἱὸς

secundum rationem mei corporis, & se-
cundum ejus perfectitudinem, ut & ipsi
perfecti reddantur, cum habeant cum
corpore meo unitatem, & in eo unum fi-
ant, & qvasi qvos ipse gestem, pariter u-
num corpus fiant, & unus spiritus, & in
virum perfectum evadant: Omnes enim
ejusdem participes, unum efficimur cor-
pus, unum Dominum in nobis haben-
tes. Hunc intellectum cum hæc verba
possideant, magis ac magis redarguitur
peregrina ista opinatio perduellium Chri-
sti. Rursos easdem voces repeto. Si sim-
pliciter & absolute pronunciasset, ut u-
num sint in te, vel ut ipsi, & ego in te u-
num simus, habuissent isti Dei oppugna-
tores aliqvam improbam occasionem,
nunc autem non simpliciter dictum est,
sed qvemadmodum tu in me, & ego in
te, ut omnes unum sint. Hic, cum rur-
sum inferat hanc vocem, qvemadmo-
dum longissime eos abesse declarat, qvam
ut fiant, qvalis ipse est in patre, eamqve
longinqvitatem metiendam esse non lo-
Δέομαί σε, μή με πρὸ καιροῦ βασανίσῃς. ἐπαίοντο γὰρ καὶ μόνον βλέποντες παρόντα τὸν Κύριον. ὕτως καὶ ὁ Παῦλος παρήγγελλε τοῖς ἀκαθάρτοις δαίμοσιν. ὕτως καὶ τοῖς μαθηταῖς ὑπετάσσοντο τὰ δαιμόνια, καὶ ἐπὶ Ἐλισαιὲ ὃ τὸν προφήτην ἐχρῆτο χεὶρ Κυρίου, καὶ προεφήτευσε πρὸς τοὺς ὑδάτων τοῖς τρισὶ βασιλεῦσιν, ὅτε ἔψαλε κατ' ἐντολὴν ὁ ψάλλων. ὕτως καὶ νῦν ἡμῖς ὑπὲρ τῶν πασχόντων ταῦτα λεγέτω, καὶ μᾶλλον τὸν πάσχοντα ὠφελήσῃ, καὶ ἑαυτοῦ τὴν πίστιν ἀληθῆ καὶ βεβαίαν ἐπιδείξεται. ὥστε καὶ ταύτην ὁρῶν τὸν Θεὸν, τελείαν τὴν θεραπείαν παρέχειν τοῖς δεομένοις. τοῦτο καὶ ὁ ἅγιος γινώσκων, ἔλεγεν ἐν τῷ ἑκατοστῷ ὀκτωκαιδεκάτῳ Ψαλμῷ· Τὰ δικαιώματά σου μελετήσω, οὐκ ἐπιλήσομαι τοὺς λόγους σου. καὶ πάλιν, ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. ἐντεῦθεν γὰρ, καὶ σωτηρίαν ἐκερδαίνον, λέγοντες· εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἦν, τότε ἂν ἀπολόμην ἐν τῇ ταπεινώσει μου· ὅτε καὶ ὁ Παῦλος ἐντεῦθεν ἠσφαλίζετο τὸν ἑαυτοῦ μαθητὴν, λέγων· ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ γένηται. ταῦτα μελετῶν καὶ ὅτως ἐντυγχάνων τοῖς Ψαλμοῖς, τὸν μὲν, ἐν ἑκάστῳ νοουμένου ὁδηγοῦντος τοῦ Πνεύματος, καταλαβεῖν δυνήσῃ. τοιοῦτον δὴ καὶ σὺ ζηλώσεις βίον, οἷον ἔσχον οἱ ταῦτα θεοφορούμενοι λαλήσαντες ἀνδρες ἅγιοι.

S. Patris nostri

ATHANASII

ARCHIEPISCOPI

ALEXANDRIÆ,

DE SABBATIS ET CIRcumcisione, e Lib. Exod.

ET servabunt filii Israel Sabbata, colentqve in generationes suas: Fœdus æternum inter me & filios Israel, signum est in me æternum, eo qvod in sex diebus fecerit

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

ΠΕΡΙ ΣΑΒΒΑΤΩΝ ΚΑΙ ΠΕΡΙτομῆς, ἐκ τῆς Ἐξόδου.

ΚΑΙ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ Σάββατα, ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν. διαθήκη αἰωνίου ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ, σημεῖόν ἐστιν ἐν ἐμοὶ αἰώνιον, ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε Κύριος

εἰς τὸν τε οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ κατέπαυσε. σημεῖόν ἐστι δεῖ δεῖναι τὴν τῆς κτίσεως ἡμέραν. καὶ τ' αὐτῆς τέλος ἀκόλουθον ἦν, ἕως τὰ τῆς κτίσεως ἐνεργεῖτο ἐπὶ τῆς Ἱερουσαλήμ, ἕως τότε φυλάττειν τὰ Σάββατα· ἐλθούσης δὲ τῆς ἑτέρας γενεᾶς καὶ τοῦ κτιζομένου λαοῦ καὶ τὸ λεγόμενον· γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον· ἀνάγκη μηκέτι τὸν λαὸν τοῦτον τηρεῖν τὸ τῆς πρώτης κτίσεως τέλος, ἀλλὰ τὴν ἀρχὴν τῆς δευτέρας κτίσεως ζητεῖν. τίς δέ ἐστιν, ἢ καθ' ἣν δύσῃ ὁ Κύριος, ἔστοτε γὰρ ἀρχὴν ἔσχεν ἡ καινὴ κτίσις, ὡσεὶ ἧς ἔφη ὁ Παῦλος, ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. τὴν μὲν οὖν πρώτην κτίσιν ποιῶν ὁ Θεὸς κατέπαυσε. διὰ τοῦτο καὶ τὸ Σάββατον ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐτήρουν οἱ τῆς γενέσεως ἐκείνης. ἡ δὲ δευτέρα κτίσις τέλος οὐκ ἔχει, διὰ τοῦτο οὐδὲ κατέπαυσε, ἀλλ' ἕως ἄρτι ἐργάζεται. ὅθεν οὐδὲ σαββατίζομεν ἡμέραν ὡς ἐπὶ τῆς πρώτης, ἀλλὰ τὰ μέλλοντα ἐλπίζομεν Σάββατα Σαββάτων, ἃ ὅταν τέλος λαμβάνει ἡ καινὴ κτίσις, ἀλλὰ φανερούται καὶ διόλου ἐορτάζει. διὰ γὰρ τοῦτο ἐδόθη τὸ Σάββατον τῷ πρώτῃ λαῷ, ἵνα γινώσκῃ καὶ τὸ τέλος καὶ τὴν ἀρχὴν τῆς κτίσεως. τῇ δὲ καινῇ κτίσει οὐκ ἐνετείλατο φυλάττειν Σάββατον· ἵνα τὴν μὲν ἀρχὴν ἐν τῇ χειμερινῇ γινώσκῃ, ἀτελεύτητον δὲ ἐπίσηται τὴν αὐτὴν χάριν. διὰ τοῦτο δὲ καὶ τὴν ἀρχὴν, τουτέστι τὴν ἡμέραν ἐδήλωσεν, ἵνα τὸ τέλος τῆς παρελθούσης γινώσκῃς. ὁ γοῦν Ἀπόστολος περὶ τῆς πρώτης γράφων ἔφη. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλε ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ. καὶ πάλιν, ἐπὶ συντελείᾳ τῶν αἰώνων. οὐκοῦν ἡ μὲν πρώτη πεπλήρωται καὶ τετελείωται οὐκ ἄλλοτε, ἢ ὡς οἱ προφῆται ἔλεγον· ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. τέλος δὲ ἔχουσῶν τῶν πρώτων ἡμερῶν, ἄλλαι γίνονται, ὡς ὁ Ἱερεμίας ἔφη· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος. τέλος ἐχούσης τῆς πρώτης, ἀκολούθως ἑτέρας ἀρχὴ γέγονε. διὰ τοῦτο μὴ τὸ Σάββατον δύσῃ ὁ Κύριος. οὐ γὰρ προηγουμένως εἵνεκε τοῦ λέγειν τοὺς ἀνθρώπους ἐδίδου τὸ Σάββατον ὁ Θεὸς ὁ λέγων· ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκανθῶν, καὶ ὁ προστάττων ἐν τοῖς Ἀριθμοῖς, καὶ τῇ ἡμέρᾳ τῶν Σαββάτων προσέταξε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους,

A *Deus cœlum & terram, & septima die feriatus sit.* Signum est, ut sciatur dies creationis, & quando ejus finis consequi debebat. Quamdiu enim prior ætas & creatio viam suam & efficaciam in Hierusalem obtinebat, tamdiu Sabbata suam observationem habuere. Verum ubi successerat alia generatio, aliusque populus jam creatus erat, secundum id, quod in Psalmis dictum videas: *Scribatur illa in generationem alteram, & populus, qui creabitur, laudabit Dominum:* non necesse ulterius fuit, hunc novum populum prioris nationis observare finem, sed exordium potius secundæ creationis & B ætatis. Quando igitur est istud exordium, nisi quo tempore Dominus resurrexit? Jam inde enim initium habuit nova creatura, de qua locutus est Paulus: *Quapropter si qua est in Christo nova* 2. Cor. 5. *creatura.* Prioremigitur creationem cum absolvisset Deus, quieti se dedit. Ac propterea Sabbatum in die septimo observabant homines illius generationis. Cæterum, secunda ætas sive creatio finem non habet. Ideoque neque quietem assumsit, sed usque in præsens operatur. Atque hinc est, quod Sabbati diem non ut in prima ætate observamus, sed speramus futura Sabbata Sabbatorum, in quibus finem non C habebit nova creatura: sed manifestabitur, & perpetui temporis festum colet. Ideo enim Sabbatum injunctum est priori populo, ut cognoscerent finem & principium creaturæ. Cæterum, novæ creaturæ non præcepit observationem Sabbati, ut initium quidem in Dominica die agnosceret, sed tamen infinibilem esse, & nunquam desituram gratiam, certum haberet. Idcirco autem initium, hoc est, Dominicum D diem certum declaratumque voluit, ut finem præteriti sentires. Apostolus certe de priori scribens ait: *Cum venisset plenitudo temporis, emisit Deus filium suum.* Et rursus: *In consummatione seculorum.* Prima igitur adimpleta est & consummata, non alio tempore, quam eo, de quo Prophetæ dixerunt: *In extremis diebus effundam de Spiritu meo:* finitis autem prioribus diebus, alii dies supervenient, ut inquit Hieremias: *Ecce dies veniunt, inquit Dominus.* Non enim principaliter otii causa dedit Deus hominibus Sabbatum, quippe qui ita loquatur: *Via otiosorum constrata spinis:* & in libris Numerorum, ipso die Sabbatorum jussit duos agnos anniculos immaculatos

Galat. 4.

Esa. 44.

& duodecim panes ex similagine in oleo confectos, in sacrificium, & libationem, & holocaustum in Sabbatis apponi ad holocaustum æternum. Et rursus aliquanto superius: *Ponetis in ara thus purum & salem*, jacebuntque panes ita propositi in recordationem Domino. Die Sabbatorum proponetis eos semper coram Domino in conspectu filiorum Israel ad æternum testamentum. Si enim, illi cordi esset otiositas, non imperasset proponere, offerre, mactare Levitis: Nam si otium sanctificet, ergo sequitur, ut negotium contaminet: atqui Levitæ operando non contaminabantur, non igitur otium sanctificaverit; alioqui cur fieret, ut soli Levitæ sanctificatione non spolientur, dum offerunt, mactant, & proponunt in Sabbato? tantum autem absunt, ut inquinentur, ut etiam propitiationem impetrent illis, qui offerunt. Non igitur Sabbatum otium designat aut innuit, sed cognitionem conditoris, eo quod cessatum sit a forma creandi, ut in Ezechiele scriptum est: *Sabbata mea dedi illis, ut essent in monumentum & recordationem mei, & in monumentum & recordationem illorum: ut cognoscerent, me esse Dominum, qui ipsos sanctifico.* Intelligentiæ igitur & non otii causa datum est Sabbatum, quia cognitio magis necessaria est, quam otium. Ideoque Dominus locutus est illis, qui incusabant discipulos, quod spicas vellerent: *Si cognosceretis, quid illud sit, Misericordiam volo & non sacrificium.* Otiosos enim illos in Sabbato culpabat, eo quod illud, quod proprium est Sabbati, non habeant, hoc est, veritatis cognitionem. Ideoque circa Hiericho tuba canere imperantur, qui legem Sabbati susciebant in septem diebus, in quos Sabbatum incidebat. Si igitur otii gratia datum est Sabbatum, cur operatio tubicinandi imperatur? quinimo creditum fuit, eos ita canendo sabbatizari. Non enim otio, sed cognitione Deum sibi opitulationem comparabant, sicuti in eo quoque, qui octavo die circumciditur. Necessitas enim habet, ut Sabbato circumcisio fiat, atque eo modo Sabbatum operando colunt: sed ita tamen, ut Deum cognoscant. Certe dies, qui Sabbata non sunt, tamen ob remissionem peccatorum,

καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδεῖον, καὶ ὁλοκαύτωμα Σαββάτων ἐν τοῖς Σαββάτοις, ἐπὶ τῆς ὁλοκαυτώσεως τὸ διὰ παντός. καὶ πάλιν μετ' ὀλίγων λέγει ἐν τοῖς ἀνωτέρω· καὶ ἐπιθήσετε ἐπὶ τὸ θυμα λίβανον καθαρὸν καὶ ἄλλας, καὶ ἔσονται εἰς ἄρτους εἰς ὑπόμνησιν, προσκείμενα τῷ Κυρίῳ. τῇ ἡμέρᾳ τῶν Σαββάτων προτεθήσετε ἔναντι Κυρίου διὰ παντὸς, ἐνώπιον τῶν υἱῶν Ισραὴλ διαθήκην αἰώνιον. εἰ γὰρ ἔμελεν αὐτῷ περὶ ἀργίας, οὐκ ἂν προσετίθεντο καὶ προσάγειν, καὶ σφάζειν ἐπέλθωσι τοὺς Λευίτας. εἰ γὰρ ἡ ἀργία ἁγιάζει, δηλονότι ἡ ἐργασία μολύνει. ἀλλ' οἱ Λευῖται ἐργαζόμενοι οὐκ ἐμολύνοντο, οὐκ ἄρα ἡ ἀργία καθαρίζει. ἢ διὰ τί μόνοι οἱ Λευῖται, τὸ ἁγιασμοῦ χερίσονται, προσάγοντες, καὶ σφάζοντες, καὶ προτιθέντες ἐν τῷ Σαββάτῳ; τοσαύτῳ γὰρ ἀπέχουσι τοῦ μιαίνειν, ὅσῳ καὶ ἱλάσκονται, ὑπὲρ τῶν προσφερόντων. οὐκοῦν οὐκ ἀργίαν σημαίνει τὸ Σάββατον, ἀλλὰ γνῶσιν τοῦ ποιητοῦ, παῦλαν δὲ τοῦ σχήματος τῆς κτίσεως ταύτης, ὡς καὶ ἐν τῷ Ιεζεκιὴλ ἔφη· τὰ Σάββατά μου ἔδωκα αὐτοῖς τοῦ εἶναι εἰς σημεῖον, ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον αὐτῶν· ἵνα γνῶσι αὐτοὺς, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς. γνώσεως ἄρα καὶ οὐκ ἀργίας ἕνεκεν ἐδόθη τὸ Σάββατον. ὡς εἶναι μᾶλλον τὴν γνῶσιν ἀναγκαιοτέραν τῆς ἀργίας. διὰ τοῦτο ὁ Κύριος ἔλεγε τοῖς αἰτιωμένοις τοὺς μαθητὰς ἐπὶ τῷ τίλλειν στάχυας· εἰ ἐγνώκειτε, τί ἐστιν, ἔλεον θέλω καὶ οὐ θυσίαν. ἀργοὺς γὰρ αὐτοὺς ἐν τῷ Σαββάτῳ ἠτιᾶτο, ὅτι τὸ ἴδιον τοῦ Σαββάτου οὐκ εἶχον, ὅπερ ἐστὶν ἡ περὶ τοῦ ἀληθείαν γνῶσις. διὰ τοῦτο καὶ ἐπὶ τοῦ Ιεριχὼ κελεύονται σαλπίζειν οἱ τὸν νόμον τοῦ Σαββάτου λαβόντες ἐν ζ ἡμέραις, ἐν αἷς, καὶ τὸ Σάββατον ἐμπίπτει. εἰ δὲ ἵνα ἕνεκα τοῦ ἀργεῖν ἐδόθη τὸ Σάββατον, διὰ τί ἐργάζεσθαι προστάττονται σαλπίζοντες; ἀλλ' ἠπίστατο, ὅτι σαλπίζοντες ἐσαββάτιζον· οὐκ ἀργοῦντες, ἀλλὰ γινώσκοντες τὸν βοηθοῦντα αὐτοῖς Κύριον. ὥσπερ καὶ ἐπὶ τοῦ περιτεμνομένου ὀκταημέρου. ἀνάγκη γὰρ ἔχει καὶ τῷ Σαββάτῳ περιτέμνειν, καὶ ὅμως σαββατίζει, ἐργαζομένου μὲν, γινώσκων δὲ τὸν Θεὸν, ἀμέλει καὶ τὰς μὴ ἡμέρας τῶν Σαββάτων· ὅμως διὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν,

καὶ τῆς ἐπιγνώσεως χάριν, Σάββατα ὀνομάζειν ἐώθεν ὁ νόμος, μᾶλλον δὲ ὁ Κύριος τὸν νόμον, ὡς ἐν τῷ Λευιτικῷ ἔφη· καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ἡμέρα ἁγιασμοῦ κλητὴ, ἁγία ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ. πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ. καὶ μεῖ ὀλίγα, καὶ ἔσται πᾶσα ψυχὴ, ἥτις ποιήσῃ ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. πᾶν ἔργον οὐ ποιήσετε νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν, Σάββατα Σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, ἀπὸ ἐνάτης τοῦ μηνὸς, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας, καὶ σαββατιεῖτε τὰ Σάββατα ὑμῶν. οὐκοῦν οὐχ ἡ ἑβδόμη ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ὅτε πᾶς ἀπ' αὐτῶν καταπαύσει. οὐδὲ ἡ ἀργία ἐστὶ τὸ Σάββατον, ἀλλ' ἡ ἐξομολόγησις καὶ ταπεινοῦν τὴν ψυχήν. οὐ γὰρ ὡρισμένως τῷ Σαββάτῳ εἴρηκεν, ἀλλ' ἁπλῶς τῇ δεκάτῃ, ἣν συμβαίνει ἀπαντᾶν μὴ ἐν Σαββάτῳ, καὶ ὅμως τὴν ἀπαντῶσαν ἡμέραν διὰ τὸν ἁγιασμὸν, Σάββατον οὐκ ἁπλῶς, ἀλλὰ Σάββατα Σαββάτων ὀνομάζει. εἰ δὲ ταύτην Σάββατον ὀνομάζει, ἐν ᾗ Σαββάτῳ ἐργάζεσθαι κελεύει, οὐκ ἄρα ἀργίας προηγουμένως νόμος ἐστὶ τὸ Σάββατον, ἀλλὰ γνώσεως καὶ ἁγιασμοῦ, καὶ ἀργίας ἀπὸ κακίας πάσης. οὐ διὰ τὴν ἀργίαν ἐν τῷ Σάββατον δέδωκεν, ἀλλὰ πρὸς τὸ γινώσκειν αὐτὸς τὴν κατάπαυσιν τῆς κτίσεως. ἐνετείλατο γὰρ ὁ Θεὸς λέγων, ἵνα γινώσκητε, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ κατέπαυσε Κύριος ὁ Θεὸς ὑμῖν, ἀπὸ τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, ἤθελε δὲ αὐτὸς γινώσκοντας τὸ τέλος ταύτης ἀρχὴν ζητεῖν ἑτέρας. τέλος μὲν ἐν τῆς πρώτης κτίσεως τὸ Σάββατον, ἀρχὴ δὲ τῆς δευτέρας ἡ κυριακὴ, ἐν ᾗ τὴν παλαιὰν ἀνενέωσατο καὶ ἀνεκαίνισεν. ὥσπερ οὖν ἐνετείλατο, φυλάττειν πρότερον τὸ Σαββάτου τὴν ἡμέραν, μνήμην οὖσαν τοῦ τέλους τῶν πρώτων, οὕτως τὴν κυριακὴν ἡμῶν, μνήμην οὖσαν ἀρχῆς δευτέρας ἀναπλάσεως. οὐ γὰρ ἄλλην ἐπέκτισεν, ἀλλὰ τὴν παλαιὰν ἀνεκαίνισε, καὶ ὃν ἤρξατο ποιεῖν ἐτελείωσε, διὰ τοῦτο ἐν μιᾷ τῇ ἕκτῃ τὰ γενόμενα συνετελέσθη, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων ἐν οἷς ἔργοις. καὶ εὐαγγελίῳ ἐλθὼν ὁ λόγος φησὶ, ἦλθον τελειῶσαι τὸ ἔργον.

A cognitionemque Dei, Sabbata appellare lex ipsa solet: præcipue vero Dominus legis, ut ex Levitico constat: *Decimo die mensis hujus hebdomade,* Levit. 23. *dies, quæ Propitiationis est dicta, sancta nominabitur inter vos, & humiliabitis animas vestras, & adducetis holocausta Domino, & nullum opus facietis in die illa: fietque, ut anima, quæ in illa die opus fecerit, deleatur ex omni populo. Nullum opus facietis ex recepto & solenni more in æternum: ea vobis Sabbata Sabbatorum erunt, & humiliabitis animas vestras a decimo mensis die a vespera usque ad vesperam, & sabbatizabitis Sabbata vestra.* Igitur non septima dies Sabbatum est, sed remissio peccatorum, cum quis requieverit a peccatis: cum otium non Sabbatum sit, sed confessio & humiliatio animi. Non enim requiescere Sabbato, dixit, sed simpliciter in decima die, quam incurrere videmus etiam non in Sabbatum: & tamen occurrentem diem illam propitiationi destinatam non simpliciter Sabbatum, sed Sabbata Sabbatorum, appellat. Quod si in hoc die etiam Sabbatum constituit, & in Sabbato operari jubet: non otii igitur principaliter est Sabbatum, sed cognitionis & propitiationis, & feriationis ab omni malitia: neque otii causa Sabbatum dedit, sed ut cognoscerent cessationem creationis, quippe cum præcepit Deus ad istum modum, dicens: *Ut cognoscatis, quod in hac die requieverit Dominus Deus vester ab operibus, quæ cœperat facere.* Volebat autem, cognito istius creationis fine, initium quærere novæ creaturæ. Finis igitur prioris creationis Sabbatum: secundæ autem creaturæ initium, Dominicus dies: in quo veterem hominem renovavit & instauravit. Sicuti igitur prioribus temporibus Sabbati diem servari voluit in monumentum finis priorum: ita Dominicum diem veneramur, ut monumentum exordii secundæ reparationis. Non enim aliam creaturam colendo superaddidit, sed veterem renovavit, & quam inœpit facere, consummavit, eaque de causa in sexto die, quæ creabantur, perfecta sunt: in septimo requievit ab omnibus: Et in Evangelio dicit Christus: *Veni, ut perficerem opus.*

Qui enim ab omnibus requieſcit, ſignificat, quædam fine & conſummatione indigere, quæ ipſe veniens conſummavit. Ait enim: *Opera, quæ dedit mihi pater, ut perficiam ea:* item: *Ipſa opera, quæ ego facio, teſtantur de me.* Jam imperfectum erat hoc opus: ſiquidem ex peccato Adæ moriebatur homo: cæterum, id Chriſti vivificatu integritatem ſuam recuperavit. Ideoque cum creaturam intra ſex dies conditam renovatione interpolaſſet, diem illam huic inſtaurationi conſecratam voluit, quam in Pſalmo Spiritus prænunciat: *Hæc eſt dies, quam fecit Dominus.* Solis enim inſtar Deus exoritur, illuſtrans uniuscujusque animum. Quocirca & in ſalvifera paſſione non apparuit ſol, indicans, finem prioris creaturæ adeſſe, & principium alterius ſupervenire, quæ diluculum ſuum & exortum in Salvatore conſecuta eſt. Hanc cum vidiſſet Propheta, ita locutus eſt: *Ecce vir, oriens ille cognomen:* ac rurſum: *Vobis timentibus eum, exorietur ſol juſtitiæ.* Non enim omnium hæc dies eſt, ſed eorum, qui mortui ſunt peccato, & vivunt Deo. Ideo enim in octavo die circumcidi a lege imperatum fuit, neque id unquam violabatur, quo ſchemate innuebantur renaſcentia omnium poſt ſeptimum diem. Nam circumciſio nihil denotabat, niſi depoſitionem exuviasque detractæ nativitatis. Eum enim, qui ſexto die mortuus eſt, exuimus, & renovamur Dominica die, cum antiqvus ille exutus regenerationem reſurrectione acceperit. Hoc enim Paulus ad Coloſſenſes loquitur: *In quo circumciſi eſtis circumciſione non manufacta, in exſpoliatione carnis, in circumciſione Chriſti, cui conſepulti eſtis in Baptiſmate ad infernum, in quo & reſurrexiſtis.* Nam circumciſio figura erat exuviarum, quæ per Baptiſmum deponuntur, illamque in membris genitalibus juſſit fieri, ut animadverterent, circumciſi, circumciſionem ſignum eſſe exuendæ vetuſtatis. Abraham enim, ubi Deo crediderat, circumciſionem recepit pro nota inſignibusque ejus regenerationis, quæ per Baptiſmum conficitur. Quapropter ubi venerat res, quæ figura denotabatur, nota ipſa figuraque intercidit & conquievit. Circumciſio enim nota erat, lavacrum autem regenerationis idipſum eſt, quod denotabatur. Veteri enim homine in totum exuto, ſuperflua erat nota illa, quæ ex parte rei adumbrationem præ ſe ferebat: & ut Dominica dies, quæ initialis eſt novæ creaturæ, Sabbatismum finit: ita eadem illa regenerato homine in otium, dedit circumciſionem.

Joan. 10.

Pſalm. 118.

Col. 2. 11.

ὁ γὰρ ἀπὸ πάντων καθαπαίων, σημαίνει, ἵνα δέ τι ἀτελὲς, ἄρξ ἐλθὼν ἐπετελείωσε. ἔφη γὰρ ἐν τῷ κατὰ Ἰωάννην, ἃ δέδωκέμοι ὁ πατὴρ, ἵνα τελειώσω αὐτά· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ. ἀτελὲς μὲν γὰρ ἦν τὸ ἔργον, εἰ ἁμαρτησάντων τὸ Ἀδὰμ ἀπέθνησκεν ὁ ἄνθρωπος· τέλειον δὲ γέγονε ζωοποιηθέντος αὐτοῦ. διὰ τοῦτο τὴν ἐν ἓξ ἡμέραις κλίσιν ἀνακαινίσας, ἡμέραν τίθησι τῇ ἀνακαινίσει, ἣν διὰ τοῦ Ψαλμοῦ προαναφωνεῖ λέγουτο πνεῦμα· αὕτη ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. ἀνέτειλε γὰρ Θεὸς ἀνατέλλει, καταυγάζων τῇ ἑκάστου ψυχῇ, διὰ τοῦτο καὶ ἐν αὐτῷ τῷ σωτηρίῳ πάθει οὐκ ἔφανεν ἥλιος, σημαίνων τέλος μὲν τῆς προτέρας κτίσεως, ἀρχὴν δὲ ἑτέρας, τὴν ἐκ τοῦ Σωτῆρος ἀνατέλλουσαν· ἣν εὐφημῶς ὁ προφήτης ἔφη· ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ. καὶ πάλιν, ὑμῖν δὲ τοῖς φοβουμένοις αὐτὸν, ἀνατελεῖ ἥλιος δικαιοσύνης· οὐ γὰρ πάντων ἡμέρα αὕτη, ἀλλὰ τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ, ζώντων δὲ τῷ Κυρίῳ. διὰ τοῦτο γὰρ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ προστέτμηντο ἐκέλευσεν ὁ νόμος, καὶ σάββατος ἦν ἡ ἑβδόμη, σημαίνουσα τὴν μετὰ τὴν ἑβδόμην ἀναγέννησιν πάντων. ἡ γὰρ περιτομὴ οὐδὲν ἄλλο ἐδήλου, ἢ τὴν τῆς γηρύσεως ἀπέκδυσιν. τί γὰρ τῇ ἕκτῃ ἀποθανόντα ἀπεκδεδυσόμεθα, ἐν ἀνακαινούμεθα τῇ κυριακῇ, ὅτε ὁ παλαιὸς ἀπεκδυθεὶς, ἀνεγείρεται τῇ ἀναστάσει. τοῦτο γὰρ καὶ ὁ Παῦλος ἔφη ἐν τῇ πρὸς Κολασσαεῖς· ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι εἰς τὸν ᾅδην, ἐν ᾧ καὶ συνηγέρθητε. τῆς γὰρ διὰ τοῦ βαπτίσματος ἀπεκδύσεως τύπος ἦν ἡ περιτομή· ἦν ἐν ἐκείνοις τοῖς μέλεσιν ἐπιτέλλατο γίνεσθαι, δι' ὧν καὶ γεννᾶται τὸ σῶμα, ἵν' εἰδῶσιν οἱ περιτεμνόμενοι, ὅτι ἀπεκδύσεως παλαιότητός ἐστι σημεῖον. πεδύσας γὰρ Ἀβραὰμ ἔλαβε τὴν περιτομήν· σημεῖον ὂν τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως. διὰ τοῦτο ἐλθούσης τὸ σημαινόμενον ἐπαύσατο τὸ σημεῖον. ἡ μὲν γὰρ περιτομὴ σημεῖον ἦν, τὸ δὲ λυτρὸν τῆς παλιγγενεσίας τὸ σημαινόμενον. ὅλως γὰρ τὰ παλαιὰ ἀπεκδιδυσκόμενα, περιττὴ ἡ διὰ τοῦ μέρους σημασία. καθὼς ἡ κυριακὴ ἀρχὴ τῆς κτίσεως ἐστι, καὶ παύει τὸ Σάββατον, οὕτως ἡ αὐτὴ ἀναγεννήσασα τὸν ἄνθρωπον ἔπαυσε τὴν περιτομήν.

ἀμφότερα γὰρ ἐν τῇ ὀγδόῃ κατώρθωται, καὶ ἡ ἀρχὴ τῆς κτίσεως, καὶ ἡ ἀναγέννησις τοῦ ἀνθρώπου. διὰ τοῦτο ἡ ὀγδόη τὸ Σάββατον ἔλυσε, καὶ οὐ τὸ Σάββατον τὴν ὀγδόην. ἐν μὲν γὰρ Σαββάτῳ περιετέμνετο ὁ ἄνθρωπος. ἐν δὲ τῷ Σαββάτῳ οὐκ ἦγεν ἡ περιτομή. ἡ γὰρ ὀγδόη ἀρχὴ οὖσα τῆς ἀναπλάσεως, κατέπαυσε τὴν πρώτην. ἡγοῦμαι δὲ καὶ διὰ τοῦτο τὴν περιτομὴν δοθῆναι. τοῦ γὰρ Ἀδὰμ εἰρήσαντος· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, ἔδυνησε, καὶ διεφθείρετο τὸ σῶμα, ὅθεν μέρος πυρὸς σώματος, καὶ τοῦτο τὸ αἴτιον τῆς τοῦ σώματος γενέσεως περιεβάλοντο ἐκλυνύειν περιδιδασκόμενοι τὴν τοῦ ὅλου ἀπεκδυσιν, ἵν' ὥσπερ ἀποδιδύντες τὸ κατακριθὲν, διασωθῆναι δυνηθῶσι. καὶ ὥσπερ αἱ θυσίαι σκιαὶ ἦσαν τῶν μελλόντων· οὕτως καὶ ἡ ἐν μέρει περιτομὴ τοῦ ὅλου ἦν σκιά· τοῦτο δὲ καὶ ἐν τῷ Ἰησοῦ τοῦ Ναυῆ φανερῶς ὁ λόγος σημαίνει, ὅτε γὰρ Ἰησοῦ κυ προσάξαντος τοῦ Θεοῦ περιτέμνοντος τὸν λαὸν ἐν Γαλγάλοις, πέραν τοῦ Ἰορδάνου, εἶπεν Κύριος τῷ Ἰησοῦ υἱῷ Ναυῆ, ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν, καὶ ἐκάλεσε ἔφη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα. εἰ γὰρ ἡ περιτομὴ, ἀφαίρεσίς ἐστι τοῦ ἐν Αἰγύπτῳ γλύσεως, δηλονότι ἡ ἀκροβυστία, Αἰγυπτιακῆς ἕξεως καὶ γλύσεως γνώρισμά ἐστι. τοῦτο δὲ ἀφεῖλεν ὁ Θεὸς, ἵνα μηκέτι, ὡς ἐν Αἰγύπτῳ γεννηθέντες ὦσιν, ἀλλὰ τῆς ἐπαγγελίας, εἰς ἣν εἰσῆξεν αὐτοὺς ὁ Κύριος, τέκνα λογίζωνται. Τούτων δὲ ὄντων φαίνεται καθόλου ἡ περιτομὴ δοθῆναι, ἵν' ἀφαιρεθῇ ὁ ὀνειδισμὸς τῆς γηίνης γλύσεως ἀπὸ τοῦ Ἀβραμιαίων, καὶ μηκέτι ὀνειδίζωνται ὑμῖν τοῦ· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἀφῃρέθη γὰρ ὁ ὀνειδισμὸς τοῦ παραπτώματος. τοῦτο δὲ ἐγένετο ὅτε, εἰς τύπον τοῦ διὰ Χριστοῦ βαπτίσματος. τότε γὰρ ἐν μέρει ἐγένετο, ὡς ἐν σκιᾷ, νυνὶ δὲ ὥσπερ εἶπεν ὁ Ἀπόστολος, ὅλην τὴν γηίνην γλύσιν ἀπεκδιδυσκόμεθα, διὰ τοῦ λουτροῦ ἀναγεννώμενοι, ἵνα μηκέτι κυ τὴν πρώτην γλύσιν ἀποθνήσκωμεν· ἀλλὰ κυ ἡ περιτομὴ τῆς ἀπεκδύσεως τοῦ σώματος, ἣν διὰ τοῦ λουτροῦ ἀπεκδιδυσκόμεθα, ζήσωμεν. ὥσπερ δὲ εἶπεν Κύριος τῷ Ἰησοῦ· ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἐν τῇ σήμερον ἡμέρᾳ ἀφ' ὑμῶν· ἔτος πολλῷ μᾶλλον λεχθείη ἂν ἑκάστῳ τῶν νῦν βαπτιζομένων.

A Utrumque enim in octavo perfectum fuit, & initium creationis, & hominis regeneratio. Ideoque octavus Sabbatum dissolvit, & non Sabbatum octavum: siquidem in Sabbato circumcidebatur homo, & Sabbato non habebat circumcisio ullas ferias: nam octava, quæ initialis erat reparationis sive recreationis, finem cessationemque intulit priori: arbitror autem, circumcisionem ideo datam esse. Ex eo enim, quod Adamo dictum fuit: *Terra es, Genes. 3.*
& in terram reverteris, & quia propterea corpus moriebatur & interibat, inde est, quod partem corporis, eamque corporis procreatricem
B jussi sunt mulctare. Atque ita jam antea didicere, totum corpus exuendum esse, ut, exuto eo, quod damnatum erat, servari possent. Et sicuti sacrificia umbræ erant rerum futurarum: ita circumcisio particularis, totius hominis circumcidendi adumbratio delineatioque fuit. Illud autem in Josue scriptura clare demonstrat: Jesu enim Nave ad imperium Dei populum circumcidente in Galgalis ultra Jordanem, locutus est ei Dominus: *Hodierna die abstuli opprobriam Ægypti a vobis,*
C *& vocavit*, inquit, *nomen loci illius Galgala.* Igitur circumcisio, ablatio est Ægyptiacæ generationis, cum præputium character sit Ægyptiaci habitus, ejusque nationis insigne. *Hoc*, inquit, *abstulit Deus*, ne ulterius, veluti in Ægypto nati, servitia haberentur: sed terræ repromissionis filii, indigenæque existimarentur, in quam illos Dominus induxit. Rebus autem ita constitutis, videtur in totum circumcisio data esse, ut offeratur vituperium terreni stemmatis ab Abrahamitis, in quo posterum non obnoxii simus huic male-
D dicto: *Terra es, & in terram reverteris.* Ablatum est enim opprobrium delicti. Id autem tum factum est ad figuram ejus Baptismatis, quod in Christo perficitur: tunc enim ex parte fiebat, utpote ad umbram: nunc autem, sicuti Apostolus ait, terrenam originem exuentes, per lavacrum Baptismi regeneramur, ne ulterius pro ratione priorum natalium morte opperiamur, sed circumcisione ea, qua corpus exuitur, quæ non nisi lavacro Baptismatis conficitur, viveremus. Quemadmodum autem dixit Dominus Josue: *Abstuli vituperium Ægypti hodierna die a vobis*: ita multo magis dici poterit unicuique eorum, qui baptizantur;

in hac die abstuli convicium terrenæ regenerationis, & opprobrium corruptionis mortis a te in hoc ipso die.

Α ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀφεῖλον τὸν ὀνειδισμὸν τῆς γηΐνης γενέσεως, καὶ τὸν ὀνειδισμὸν τῆς τοῦ θανάτου φθορᾶς ἀπ' σοῦ, ἐν τῇ σήμερον ἡμέρᾳ.

S. Patris nostri

ATHANASII

ARCHIEPISCOPI ALEXANDRIÆ,

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΘΑΝΑΣΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

Β

IN ILLUD EVANGELII,

Quicunque dixerit : Verbum contra filium hominis, remittetur ei : Qui autem dixerit contra Spiritum sanctum, non remittetur ei, neque in hoc seculo, neque in futuro.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ,

Ος ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι.

DE Evangelico dicto, quod scribis mihi, ut exponam, quæso, da veniam nostræ conscientiæ. Prorsus enim vereor illud aggredi, ne si cogitationes in illud demersero, scrutarique incepero, imbecillior appaream, quam ut profundam illam sententiam efferam. Tacere igitur de eo omnino statueram, & contentus prioribus esse scriptis : præsagiens tamen, ne mihi denuo de eadem re scribere contendas, vim mihi ipsi feci, ut scriberem mediocrem, prout didici, istius rei interpretationem, ea potissimum fiducia, quod sperarem, te, si nos scopum attigissemus, approbaturum esse in gratiam docentis : sin a scopo aberrassemus, veniam daturum esse, cum non ignores nostram imbecillitatem & infirmitatem. Dictum autem illud Evangelii tale est. Cum inter tot signa Evangelicæ prædicationis, Pharisæi dicerent: *Hic non ejicit dæmonia, nisi in Beelzebub principe dæmoniorum: Dominus videns cogitationes eorum dixit, Omne regnum contra se divisum desolatur:* subjungens deinde : *Si autem ego in spiritu Dei ejicio dæmonia, nimirum pervenit ad*

Matth. 12.

Ibidem.

C ΠΕΡΙ δὲ ὧν γεγράφων ἐδήλωσας Εὐαγγελικῶν ῥητῶν, συγγίνωσκε ἀγαπητὲ, συνειδησιν ἔχων ἀγαθήν. δέδοικα γὰρ καὶ ὅλως προσελθεῖν αὐτῷ· μὴ καὶ ἐνδύνας εἰς αὐτὸ τῷ λογισμῷ, καὶ ἀρξάμενος ἐρευνᾶν, ἀτονήσω τὴν ἐν αὐτῷ βαθεῖαν διάνοιαν ἐλκύσαι. σιωπῆσαι γὰρ περὶ τούτου τέλεον ἐβουλόμην, καὶ μόνοις ἀρκεσθῆναι τοῖς ἔμπροσθεν γεγραμμένοις σοχαζόμενος ὅμως ἄρα καὶ δεύτερον περὶ D τούτου γράψαι Φιλονεικήσης, ἐβιασάμην ἐμαυτὸν, εἰ ἔχω μαθὼν περὶ αὐτοῦ μετρίαν διάνοιαν γράψαι θαρρῶν, ὡς τυχόντας μὲν ἡμᾶς τοῦ σκοποῦ, ἀποδέξη διὰ τὸν διδάξαντα· μὴ τυχόντας δὲ, συγγνώμην γινώσκων τὴν ἡμετέραν ῥαθυμίαν τε καὶ ἀσθένειαν. τὸ μὲν οὖν ῥητόν ἐστιν, ὅτε τοσούτων σημείων γινομένων ἐν τῷ Εὐαγγελίῳ, οἱ μὲν Φαρισαῖοι ἔλεγον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. ὁ δὲ Κύριος εἰδὼς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς, πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται, καὶ εἰρηκώς. εἰ δὲ ἐν πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ'

ὑμᾶς ἡ βασιλεία τ̃ Θεοῦ· λοιπὸν ἐπιφέρει, διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία, ἀφεθήσεται ὑμῖν τοῖς ἀνθρώποις· ἡ δὲ τ̃ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται. καὶ, ὃς ἂν εἴπῃ λόγον κατὰ τ̃ υἱοῦ τ̃ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τ̃ Πνεύματος τ̃ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι. σὺ δὲ ζήτεις, πότε ἡ μὲν εἰς τὸν υἱὸν βλασφημία ἀφίεται, ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔχει ἄφεσιν, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι; παλαιοὶ μὲν οὖν ἄνδρες, Ωριγένης ὁ πολυμαθὴς καὶ φιλόπονος, καὶ Θεόγνωστος ὁ θαυμάσιος καὶ σοφός· τούτων γὰρ τοῖς περὶ τούτοις συγγράμμασιν ἐνέτυχον, ὅτε τὴν ὑπόθεσιν ἐγραψάμην· ἀμφότεροι γὰρ περὶ τούτου γράφουσι· τοιαύτην εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν λέγοντες, ὅταν οἱ καταξιωθέντες ἐν τῷ βαπτίσματι τ̃ δωρεᾶς τ̃ ἁγίου Πνεύματος, πάλιν δεομένους εἰς τὸ ἁμαρτάνειν. διὰ τοῦτο γὰρ μηδὲ ἄφεσιν αὐτοῖς λήψεσθαί φασι. καθὰ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους λέγει. ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τ̃ δωρεᾶς τ̃ ἐπουρανίου, μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν. ταῦτα μὲν κοινῇ λέγουσι, καὶ ἰδίαν ἕκαστος προσέθηκε διάνοιαν. ὁ μὲν γὰρ Ωριγένης, καὶ τὴν αἰτίαν τ̃ κατὰ τοιούτων κρίσεως οὕτω λέγει· ὁ μὲν Θεὸς καὶ πατὴρ, εἰς πάντα ἥκει καὶ πάντα περιέχει, ἔμψυχά τε, καὶ ἄψυχα, λογικά τε, καὶ ἄλογα· οὗ δὲ χάριν ἡ δύναμις, εἰς τὰ λογικὰ μόνα διατείνει. ἐν οἷς εἰσι κατηχούμενοι καὶ Ἕλληνες οἱ μηδέπω πιστεύσαντες. τὸ δὲ Πνεῦμα τὸ ἅγιον, εἰς μόνους ἐστὶ τοὺς μεταλαβόντας αὐτοῦ ἐν τῇ τ̃ βαπτίσματος δόσει. ὅταν τοίνυν κατηχούμενοι καὶ Ἕλληνες ἁμαρτάνωσιν, εἰς μὲν τὸν υἱὸν ἁμαρτάνουσιν, ἐπεὶ ἐν αὐτοῖς ἐστιν, ὥσπερ εἰρηται· δύνανται οὖν ὅμως λαμβάνειν ἄφεσιν, ὅταν καταξιωθῶσι δωρεᾶς τ̃ παλιγγενεσίας. ὅταν δὲ οἱ βαπτισθέντες ἁμαρτάνωσι, τὴν τοιαύτην παρανομίαν, εἰς τὸ Πνεῦμα τὸ ἅγιον φθάνειν φησίν. ἐπειδὴ ἐν αὐτῷ γεγόνασιν ἡμαρτηκότες, καὶ διὰ τοῦτο ἀσύγγνωστον εἶναι τὴν καθ' αὐτῶν πωρίαν. ὁ δὲ Θεόγνωστος καὶ αὐτὸς προσθείς, φησὶ ταῦτα· ὁ πρῶτον παραβεβηκὼς ὅρον καὶ δεύτερον, ἐλάττονος ἂν ἀξιοῖτο τιμωρίας. ὁ δὲ καὶ τὸν τρίτον ὑποπεσών, οὐκέτ' ἂν συγγνώμης τύχοι.

A *vos regnum Dei*: ac deinde subinfert: *Propterea dico vobis: omne peccatum & omnis blasphemia remittetur vobis hominibus: Caterum spiritus blasphemia non remittetur.* Et, *Quicunque dixerit verbum contra filium hominis, remittetur ei: qui autem dixerit contra Spiritum sanctum, non remittetur ei, neque in hoc seculo, neque in futuro.* Tu autem percunctaberis, cur blasphemia in filium remittetur, in Spiritum vero veniam non obtineat neque in hoc seculo, neque in futuro? Prisci igitur homines, inter quos & Origines, vir multarum disciplinarum, & multum industrius, & Theognostus ille admirandus B & perquam studiosus (horum enim opera legebam, cum tuam epistolam acciperem) tradunt nobis, hanc esse blasphemiam in Spiritum sanctum, cum qui dignati sunt per Baptisma donis Spiritus sancti, recurrunt ad peccata, atque inde esse, quod remissionem non consequantur. Quemadmodum & Paulus in Epistola ad Hebræos censet: *Impossibile est enim, semel illuminatos, & gustu imbutos cœlestis doni, participesque factos Spiritus sancti, & qui gustaverunt bonum Dei verbum, & virtutes futuri seculi, cum collapsi fuerunt, renovari per pœnitentiam.* Hæc quidem illi id commune C dicunt, sed singuli suam peculiariter rationem addunt. Et Origenes causam, cur istiusmodi homines condemnentur, ita explicat: Deus, inquit, pater in omnia penetrat, & omnia continet, animata, inanimata, rationalia, irrationalia: Filii autem potestas in sola rationalia sese extendit, quatenus sunt, inter quæ rationalia Ethnici sunt, qui blasphemant nondum recepta fide. Spiritus autem sanctus in solos eos sese explicat, qui sui participes facti sunt, Baptismatis gratia. Cum igitur D blasphemia Ethnici peccant, in filium peccant, quoniam ille in illis est, possunt tamen veniam consequi. Cum vero baptizati, in quos collatum est donum regenerationis, peccant, istiusmodi iniquitatem in Spiritum sanctum sese extendere ait, quoniam cum Spiritu sancto continerentur, delictum faciunt, ac proinde incondonabilem esse illorum culpam. Theognostus autem hanc rationem addit. Qui primos & secundos fines transgressus est, minori pœna dignus videri possit: qui autem tertios fines contemserit, venia excluditur. *Ibidem.*

Primos autem & secundos finem transmitti existimat, cum quis contra parentem & filium obloquitur: fines autem tertios constituit in initiatione per Baptisma, & in Spiritus sancti participatu, & id confirmare volens superinducit illud a Salvatore ad Discipulos dictum: *Adhuc multa habeo vobis dicere, sed nondum recipere potestis: cum autem venerit Spiritus sanctus, docebit vos omnia*, post quæ verba ita loquitur Theognostus. Quemadmodum cum nondum valentibus capere perfectitudinem initiationis colloquitur Dominus, se demittens ad illorum parvitatem, ita cum initiatione perfectis versatur Spiritus sanctus, neque tamen quisquam ob hæc dicere poterit, spiritus doctrinam superare doctrinam Christi, sed quod filius contemperet se, & descendat pro modulo nondum initiatione perfectorum, spiritusque peculiariter sit perfectorum, atque ita non propter excellentiam spiritus præ filio, inexpiabilis & citra veniam est blasphemia in Spiritum, sed quia in non initiatis venia locum habet. In iis vero, qui gustaverunt cœleste donum & initiati sunt, nulla ad veniam relinquitur excusatio, aut supplicii deprecatio. Atque illi quidem ad istum modum. Ego autem pro mea qualicunque eruditione, arbitror utriusque sententiam, nonnulla adhuc inquisitione & observatione indigere, cum occultior sit aliquis in eorum verbis & profundior intellectus. Certum enim est, filium, cum sit in patre, in illis etiam esse, in quibus est pater, & spiritum non abesse. Indivisa siquidem est sancta illa & perfecta & beata Trinitas. Quin denuo ad istum modum: Si omnia per filium facta sunt, & in eo omnia consistunt, quomodo extra ea esset, quæ per ipsum facta sunt, & quæ non essent, nisi in illo essent? In omnibus ergo ille congruenter fuerit, ut necessario is qui peccat in filium & blasphemat, peccet in patrem & in Spiritum sanctum. Præterea si sacrum Baptisma in Spiritu sancto duntaxat tribueretur, recte diceretur, baptizatos peccare in Spiritum sanctum: sed postquam in Patre & Filio & Spiritu sancto tribuitur, & ita initiatio in baptizatis consummatur, necessum rursum est, eos, qui post Baptisma prævaricantur, in sanctam & indivisam Trinitatem blasphemiam facere. Et hoc æquum est ita cogitare & sentire. Si enim ad eos, qui accepissent lavacrum regenerationis

Matth. 16.

A πρῶτον ὅρον καὶ δεύτερον φησι, τὸν πρὸς πατέρα καὶ υἱὸν κατάχησιν· τὸν δὲ τρίτον, τὸ ἐπὶ τῇ τελειώσει τὸ ἐπὶ τῇ τοῦ πνεύματος μετοχῇ παραδιδόμενον λόγον, καὶ τοῦτο βεβαιῶσαι θέλων, ἐπάγει τὸ ῥηθὲν Σωτῆρος εἰρημένον τοῖς μαθηταῖς· ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὔπω δύνασθε χωρεῖν. ὅταν δὲ ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς. εἶτα φησὶν ὥσπερ τοῖς μηδέπω χωρεῖν δυναμένοις τὰ τέλεια παλέγειν ὁ σωτὴρ συγκαταβαίνων αὐτῶν τῇ σμικρότητι. τοῖς δὲ τελειωμένοις συγγίνεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐδήπου τις ἐκ τούτων ἀποφήσει τὸ πνεύματος διδασκαλίαν ὑπερβάλλειν τὸ τοῦ υἱοῦ διδαχῆς· ἀλλ' ὅτι ὁ μὲν υἱὸς συγκαταβαίνει τοῖς ἀτελέσι· τὸ δὲ Πνεῦμα σφραγίς ἐστι τῶν τελειωμένων. ὅτως οὐ διὰ τὴν ὑπερβολὴν τοῦ πνεύματος πρὸς τὸν υἱόν, ἄφυκτός ἐστι καὶ ἀσύγγνωστος ἡ εἰς τὸ πνεῦμα βλασφημία. ἀλλ' ὅτι μὲν τοῖς ἀτελέσιν, ἐστὶ συγγνώμη· ὅτι δὲ τοῖς γευσαμένοις τῆς ἐπουρανίου δωρεᾶς καὶ τελειωθεῖσιν, οὐδεμία προλείπεται συγγνώμης ἀπολογία, καὶ προσαίτησις. ἐκεῖνοι μὲν οὖν, ταῦτα, ἐγὼ δὲ ἀφ' ὧν ἔμαθον, νομίζω τὴν ἑκατέρου διάνοιαν, μετρίας τινὸς δοκιμασίας ὑπόδεισθαι καὶ καταναοήσεως· μή ἄρα κεκρυμμένον ἐστί τις ἐν αὐτοῖς τοῖς ὑπ' αὐτῶν εἰρημένοις βαθύτερον νῦς. δῆλον γὰρ, ὡς ὁ υἱὸς ἐν τῷ πατρὶ ὢν, ἐν τούτοις ἐστὶν, ἐν οἷς καὶ ὁ πατήρ ἐστι, καὶ τὸ πνεῦμα οὐκ ἄπεστιν. ἀδιαίρετος γάρ ἐστιν ἡ ἁγία καὶ τελεία, καὶ μακαρία τριάς. ἔπ' αὖ εἰ πάντα δι' υἱοῦ γέγονε, καὶ ἐν αὐτῷ τὰ πάντα συνέστηκε, πῶς οὐκ ἐκτὸς εἴη τῶν δι' αὐτοῦ γενομένων; μὴ ὄντων δὲ ἐκείνων αὐτοῦ μακρὰν, ἐν πᾶσιν οὖν καὶ οὗτος εἰκότως εἴη· ὡς ἐξ ἀνάγκης τὸν εἰς τὸν υἱὸν ἁμαρτάνοντα καὶ βλασφημοῦντα, ἁμαρτάνειν καὶ εἰς τὸν πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα. καὶ τὸ ἅγιον δὲ λουτρὸν, εἰ μὲν εἰς τὸ ἅγιον Πνεῦμα μόνον ἐδίδοτο, εἰκότως ἂν ἐλέγετο τοὺς βαπτιζομένους εἰς τὸ πνεῦμα μόνον ἁμαρτάνειν. ἐπειδὴ δὲ καὶ εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον Πνεῦμα δίδοται, καὶ ἕτω τελειοῦται τῶν βαπτιζομένων ἕκαστος, ἀνάγκη πάλιν τοὺς μὴ τὸ βάπτισμα παραβαίνοντας, εἰς τριὰν ἁγίαν καὶ ἀδιαίρετον Τριάδα τὴν βλασφημίαν ποιεῖσθαι. καὶ τοῦτο δὲ δίκαιον ἂν εἴη λογίζεσθαι καὶ νοεῖν. εἰ μὲν γὰρ λαβόντας τὸν λουτρὸν τῆς παλιγγενεσίας·

B

C

D

τὰς Φαρισαίους λέγω) καὶ μεταχούλας αὐτὰς ἤδη τοῦ δωρεᾶς τοῦ ἁγίου Πνεύματος, διελέγετο ὁ Κύριος, πιθανή τις καὶ ἰδιαίτερα διάνοια, ὡς παλινδρομήσαντας αὐτὰς, καὶ πλημμελήσαντας εἰς τὸ ἅγιον Πνεῦμα. εἰ δὲ μήτε τὸ λουτρὸν εἰλήφασιν, ἀλλὰ καὶ τὸ τοῦ Ἰωάννου βάπτισμα ἀξιωθέντες ἦσαν, πῶς ἦν πάτο τούτους, ὡς βλασφημήσαντας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐδὲ μεταλαβόντας; καὶ γὰρ ὁ διδάσκων ἁπλῶς ὁ Κύριος ἐλάλησε ταῦτα. ὁ δὲ ἐπὶ μέλλουσι τὴν ἡμωρίαν ἠπείλει, ἀλλ' οὐθὲν αἰτιώμενος ἀληθῶς τοὺς Φαρισαίους, ὡς ἤδη γρομένους ὑπαυθύνους τηλικαύτης βλασφημίας, εἶπε τοῦτο τὸ ῥητὸν ὁ Κύριος. τοῖς οὖν Φαρισαίοις οὕτω κατηγορουμένοις, καὶ πρὶν λαβεῖν αὐτοὺς τὸ βάπτισμα· οὐκ ἂν εἴη τοῦτο τὸ ῥητὸν ἐπὶ τοὺς μὴ τὸ λουτρὸν ὑφαιροῦντας. καὶ μάλιστα, ὅτι οὐχ ἁπλῶς ἐπὶ ἁμαρτίαις, ἀλλ' ἐπὶ βλασφημίᾳ αὐτοὺς ἤπατο. διαφέρει δὲ, ὅτι ὁ μὲν ἁμαρτάνων ὑφαιρεῖται νόμον· ὁ δὲ βλασφημῶν, εἰς αὐτὴν ἀσεβεῖ τὴν θεότητα. ἐπὶ πολλαῖς δ' ἂν προτέρων πλημμελείαις αἰτιώμενος αὐτὰς ὁ Σωτὴρ, ὅτι τὴν ἐντολὴν τοῦ Θεοῦ τὴν περὶ τοὺς γονέων διὰ παραδόσεως παρέβαινον, καὶ τοὺς προφήτας παρεκρούοντο, καὶ τὸν οἶκον τοῦ Θεοῦ ἐποίουν οἶκον ἐμπορίας, ὅμως παρῆνει καὶ μετανοεῖν αὐτοῖς. ἐπὶ δὲ τῷ λέγειν αὐτοὺς ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια, οὐκέτι ταύτην ἁμαρτίαν ἁπλῶς, ἀλλὰ καὶ βλασφημίαν εἶπεν εἶναι τηλικαύτην, ὥστε ἄφυκτον καὶ ἀσύγγνωστον εἶναι τὴν ἡμωρίαν τοῖς τοιαῦτα τολμῶσιν· ἄλλως τε εἰ τῷ μὴ τὸ λουτρὸν ἁμαρτανόντων χάριν εἴρηται τοῦτο τὸ ῥητόν· καὶ τούτοις ἀσύγγνωστός ἐστιν ἡ τῶν πλημμελημάτων δίκη, πῶς τῷ μὲν ἐν Κορίνθῳ μετανοοῦντι κυρῶσι τὴν αὐτὴν ἀγάπην ὁ Ἀπόστολος, τοὺς δὲ Γαλάτας παλινδρομήσαντας ὠδῖνι ἄχρις οὗ μορφωθῇ πάλιν Χριστὸς ἐν αὐτοῖς; ἐν δὲ τῷ λέγειν πάλιν, δείκνυσιν αὐτῶν καὶ τὴν πρώτην ἐν τῷ πνεύματι τελειότητα· τί δὲ καὶ Νοουάτῳ μεμφόμεθα ἀναιροῦντι τὴν μετάνοιαν, καὶ φάσκοντι μηδεμίαν συγγνώμην ἔχειν τοὺς μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας; εἰ δὲ διὰ τοὺς μὴ τὸ λουτρὸν ἁμαρτάνοντας εἴρηται τὸ ῥητόν, καὶ γὰρ τὸ ἐν τῇ πρὸς Ἑβραίους ῥητὸν εἰρημένον, οὐκ ἀκλεὲς ἐστι τῷ ἁμαρτανόντων τὴν μετάνοιαν, ἀλλὰ δεικνύον ἓν εἶναι τὸ τῆς Καθολικῆς Ἐκκλησίας βάπτισμα· καὶ μὴ δύτερον·

(Pharisæos dico) & jam participes factos doni Spiritus sancti, ita locutus fuisset Dominus, verisimilis esset istiusmodi interpretatio, utpote de iis dicta, qui recurrerent ad peccatum, & delinquerent in Spiritum sanctum. Jam cum lavacrum hoc non acceperint, sed & Joannis Baptismati derogaverint, quo pacto eos accusare potuit, ut blasphemantes in Spiritum sanctum, cujus nondum consortes erant redditi? Non enim docendi ratione in futurum simpliciter ista locutus est Dominus, neque postmodum peccaturis hanc pœnam interminatus est, sed in præsentia Pharisæos, ut jam reos tantæ blasphemiæ accusans, hoc dictum protulit. Pharisæis igitur accusatis, sed priusquam baptisma recepissent, non poterit hoc dictum pertinere ad eos, qui post lavacrum prævaricantur, & præsertim quia eos non in genere de peccatis, sed de blasphemia increpabat. In quibus hoc differentiæ est, quod qui peccat, legem transgreditur, qui blasphemat contra ipsam Deitatem, impie agit. Super multis autem criminibus accusans eos Salvator, tum quod præceptum DEI de parentibus ob pecuniam prævaricarentur, tum qnod in Prophetas offenderent, & Dei domum, domum negotiationis facerent, tamen etiam in tantis delictis eos pœnitentiæ admonebat. Verum ubi eum dixissent in Beelzebub ejicere dæmonia, non ulterius hoc peccatum in genere, sed blasphemiam dixit tantam esse, ut inde fuga nulla & receptus esset, & venia carere, nec condonationem ullam iis superesse, qui talia committerent. Alioqui, si eorum causa, qui post lavacrum peccant, id dictum fuisset, illorumque culpa extra veniam seponeretur, cur apud Corinthios pœnitenti communionem restituit Paulus? & Galatas retrorsum abeuntes parturit: *Donec iterum formaretur in illis Christus?* 1. Cor. 11. Galat. 4. cum in hoc vocabulo iterum deprehendere liceat, etiam primam eorum in Spiritu sancto initiationem? Aut quid est, quod Novato succenseamus tollenti pœnitentiam, dicentique, nullam eos veniam obtinere, qui post lavacrum peccant? Quod si propter eos qui post lavacrum peccant, hoc verbum dictum est, ergo illud quoque ad Hebræos propter eosdem dictum est. Jam hoc dictum non excludit post lavacrum peccatum a pœnitentia, sed ostendit, unum esse Catholicæ Ecclesiæ Baptisma, & non duplex.

Siquidem Hebræis scripsit, qui, ne pro legis consuetudine putarent sub prætextu pœnitentiæ, multa quotidie esse Baptismata facienda, ideo eos & ad pœnitentiam hortatur, & unam esse renovationem per Baptisma, & non secundam ostendit, ut & in alia epistola dicit: *Una Fides, unum Baptisma*, neque dixit, rem impossibilem esse pœnitentiam, sed impossibile esse, per causam pœnitentiæ quempiam iterato Baptismate renovari. Estque inter pœnitentiam & Baptisma non leve discrimen. Quem enim pœnitet, is desinit quidem peccare, sed tamen retinet vulnerum cicatrices. Qui autem baptizatur, tum veterem hominem exuit, tum superne renovatur, quasi de integro regeneratus spiritus gratia. Istiusmodi mihi cogitanti, major profunditas sententiæ in hoc dicto occurrit. Et ob hoc jam antea plurimum precatus Dominum, qui super puteum sedit, & in mari deambulavit, ad dispensationem deinde in eo pro nobis habitam revertor: quippe cum fieri possit, ut inde hujus lectionis sententiam nanciscar, cum omnis sacra scriptura eam annunciet & prædicet, maxime autem Joannes ad istum modum inquiens: *Verbum caro factum est, & habitavit in nobis*: & Paulus scribat: *Qui cum in forma Dei esset, non rapinam arbitratus est, esse se æqualem Deo, sed seipsum exinanivit, formam servi accipiens, & specie inventus est, ut homo, humiliavit seipsum, obediens factus usque ad mortem, mortem autem crucis.* Ideo enim Deus cum esset, etiam homo factus est, & ut Deus excitavit mortuos, & verbo universos sanans, mutavit aquam in vinum. Non enim hæc erant opera hominis, quale est, quod carnem gestans, siti, lassitudine que laboravit, & mortem passus est. Hæc enim Deitatis nequaquam erant. Contra, ut Deus locutus est: *Ego in patre, & pater in me*, vicissim autem ut corpore indutus reprehendit Judæos: *Quid me quæritis interficere hominem, qui vobis veritatem locutus sum, quam audivi a patre?* Fiebant autem ista non divisim, secundum factorum qualitatem, ut hæc quidem designarentur a corpore absque Deitate, illa vero a Deitate seorsum a corpore; sed conjunctim ista omnia fiebant, unusque erat Dominus, qui illa faciebat per suam gratiam. Spuebat quidem, ut ho-

Ephes. 4.

Joan. 1. Philip. 2.

Joan. 10.

Joan. 7.

Ἑβραίοις γὰρ ἔγραφε· καὶ ἵνα μὴ νομίσωσι κατὰ τὴν ἐν τῷ νόμῳ συνήθειαν πρόφασιν μετανοίας εἶναι πολλὰ καθ' ἡμέραν βαπτίσματα, διὰ τοῦτο μετανοεῖν μὲν παραινεῖ, μίαν δὲ εἶναι τὴν ἀνακαίνισιν διὰ τοῦ βαπτίσματος, καὶ μὴ δευτέραν ἀποφαίνεται· ὡς καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ φησι· μία πίστις, ἓν βάπτισμα. Οὐδὲ γὰρ εἶπεν, ἀδύνατον μετανοεῖν· ἀλλ' ἀδύνατον πρόφασιν μετανοίας ἀνακαινίζειν ἅπαξ πάντας. Ἔχει δὲ πολλὴν τὴν διαφοράν· ὁ μὲν γὰρ μετανοῶν, παύεται μὲν τοῦ ἁμαρτάνειν. ἔχει δὲ τὰ τραύματων τὰς οὐλάς· ὁ δὲ βαπτιζόμενος, τὸν μὲν παλαιὸν ἀπεκδύσκεται ἄνθρωπον· ἀνακαινίζεται δὲ, ὡς ἄνωθεν γεννηθεὶς τῇ τοῦ πνεύματος χάριτι· τοιαῦτα δή μοι λογιζομένῳ, μεῖζον ἀπαντᾷ τὸ βάθος τῆς ἐν τῷ ῥητῷ διανοίας· καὶ διὰ τοῦτο πολλὰ πρότερον προσκαλέσας τὸν Κύριον ἐπὶ τὸ φρέαρ καθεζόμενον· καὶ ἐπὶ τὴν θάλασσαν περιπατήσαντα Κύριον, ἐπὶ τὴν οἰκονομίαν λοιπὸν τὴν ἐν σαρκὶ γενομένην ὑπὲρ ἡμῶν ἀνέρχομαι· τάχα πως ἐξ αὐτῆς, τὸν ἐν τῷ διαγνῶσαι νῦν λαβεῖν δυνηθῶ. πᾶσα τοίνυν ἡ θεία γραφὴ, ταύτην εὐαγγελίζεται καὶ κηρύττει· μάλιστα δὲ, ὁ μὲν Ἰωάννης λέγων· ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. ὁ δὲ Παῦλος γράφων, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὰ τοῦτο γὰρ Θεὸς ὢν καὶ ἄνθρωπος γενόμενος, ὡς μὲν Θεὸς, ἤγειρε νεκρούς, καὶ λόγῳ πάντας θεραπεύων, μετέβαλε καὶ τὸ ὕδωρ εἰς οἶνον. ὁ γὰρ τοῦ ἀνθρώπου ταῦτα ἔργα· ὡς δὲ σῶμα φορῶν, ἐδίψα καὶ ἐκοπία, καὶ ἔπαθεν· ὁ γὰρ τοῦ σώματος ἴδια ταῦτα τῆς θεότητος. καὶ ὡς μὲν Θεὸς ἔλεγε, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· ὡς δὲ σῶμα φορῶν, ἤλεγχε τοὺς Ἰουδαίους· τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, τοῦ ἤκουσα παρὰ τοῦ πατρός; ἐγίνετο δὲ ταῦτα, ὁ διῃρημένως κατὰ τὴν τῶν γινομένων ποιότητα, ὥστε τὰ μὲν τοῦ σώματος, χωρὶς τῆς θεότητος, τὰ δὲ τῆς θεότητος, χωρὶς τοῦ σώματος δείκνυσθαι. συνημμένως δὲ, πάντα ἐγίνετο, καὶ εἷς ἦν ὁ ταῦτα ποιῶν Κύριος πρὸς δόξαν τῆς ἑαυτοῦ χάριτι. ἔπτυε γὰρ αὐ-

ἀνθρωπίνως, καὶ τὸ πτύσμα ἰῶ ἔνθεον· ἐν αὐτῷ γὰρ ἐποίει τὰς ὀφθαλμὰς τῦ ἐκ γενετῆς τυφλοῦ ἀναβλέπειν· καὶ δεικνύων δὲ θέλων ἑαυτὸν Θεὸν, ἀνθρωπίνῃ γλώττῃ τῦτο σημαίνων ἔλεγεν. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ μόνον δὲ θέλων ἐθεράπευε· τῷ δὲ ἀνθρωπίνῳ ἐκτείνων χεῖρα, ἤγειρε τῷ πενθερὰν Πέτρου πυρέσσουσαν, καὶ τῷ τῦ ἀρχισυναγώγου θυγατέρα ἤδη τελευτήσασαν, ἐκ τοῦ νεκρῶν ἀνήγειρεν. αἱρετικοὶ μὲν οὖν, καὶ τῷ ἰδίαν παράνοιαν ἐμάνησαν· καὶ οἱ μὲν τὰ σωματικὰ βλέποντες τῦ Σωτῆρος, ἠρνήσαντο τὸ, ἐν ἀρχῇ ἦν ὁ Λόγος· οἱ δὲ τὰ τῆς θεότητος θεωρῆσαι ἐγνόησαν τὸ, ὁ Λόγος σὰρξ ἐγένετο. ὁ δὲ πιστὸς καὶ Ἀποστολικὸς ἀνὴρ, εἰδὼς τῷ τῦ Κυρίου φιλανθρωπίαν, βλέπων μὲν τὰ τῆς θεότητος σημεῖα, θαυμάζει τὸν ἐν τῷ σώματι Κύριον· θεωρῶν δὲ πάλιν καὶ τὰ τῦ σώματος ἴδια, ὑπερεκπλήττεται, καταγνῶν τῷ ἐν αὐτοῖς τῆς θεότητος ἐνέργειαν. τοιαύτης οὖσης τῆς Ἐκκλησιαστικῆς πίστεως, ὅταν ἴωμεν εἰς τὰ ἀνθρώπινα βλέποντες, ἴδωμεν τὸν Κύριον διψῶντα, ἢ κοπιῶντα, ἢ πάσχοντα, καὶ μόνον φλυαρήσωμεν ὡς καὶ ἀνθρώπῳ τῷ Σωτῆρι, ἁμαρτάνομεν μὲν μεγάλως· δυνάμεθα ὅμως ταχέως μεταγινώσκοντες λαμβάνειν συγγνώμην, ἔχοντες πρόφασιν τὴν τοῦ σώματος ἀσθένειαν. [ἔχομεν γὰρ καὶ τὸν Ἀπόστολον συγγνώμην αὐτοῖς νέμοντα, καὶ ὀνείδει χεῖρα αὐτοῖς ἐν τῷ λέγειν ἐκτείνοντα, ὅτι καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς δυσσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί.) ὅταν δὲ πάλιν τὰ τῆς θεότητος ἔργα θεωρῶμεν ἴωμεν, διδάζωμεν τῆς τοῦ σώματος φύσεως, καὶ αὖθις μὲν ἁμαρτάνομεν τὰ μέγιστα, ὅτι καί τοι βλέποντες ἐσθίοντα, καὶ πάσχοντα, φανταζόμεθα φάντασμα· συγγινώσκειν δ' ὅμως καὶ τούτοις ταχέως μεταγινώσκουσιν ὁ Χριστὸς δυνάμεθα, διὰ τὸ καὶ αὐτὸς ἔχειν πρόφασιν τὴν ἐκ τῶν ἔργων ὑπὲρ ἄνθρωπον μεγαλειότητα. ἐπειδὰν δὲ τῷ ἀμφοτέρων τούτων ἄγνοιαν, καὶ πήρωσιν ὑπερβάντες οἱ δοκοῦντες ἔχειν τοῦ νόμου τὴν γνῶσιν. οἷον ἦσαν οἱ τότε Φαρισαῖοι, καὶ οἱ νῦν Ἀρειανοὶ εἰς μανίαν τραπῶσι, καὶ αὐτὸν τὸν ἐν τῷ σώματι ὄντα Λόγον τέλεον ἀρνήσονται, ἢ καὶ τὰ τῆς θεότητος ἔργα τῷ διαβόλῳ, καὶ τοῖς τότε δαίμοσιν ἀναφέρουσιν, εἰκότως ἀσύγγνωστον ἔχουσι τὴν ἐκ τῆς τοιαύτης ἀσεβείας ἁπάντων ζημίαν. ὃν τε γὰρ διάβολον εἰς Θεὸν ἐλογίσαντο, καὶ τὸν ἀληθινὸν

Amo, sputamentum tamen illud divinum erat: siquidem per illam salivam oculos a nativitate cœci visui restituit, & ostendere se volens Deum, humana lingua idipsum significavit, *Ego & Pater*, inquiens, *unum sumus.* Joan. 10. Et solummodo voluntate persanavit, manum vero suam humanam protendens, socrum Petri febricitantem erexit, & Archisynagogi filiam jam defunctam a morte excitavit. Hæretici igitur in suis professionibus insaniunt, quorum isti corporalia Salvatoris intuentes, repudiant hoc dictum: *In principio erat Verbum:* alii ea, quæ sunt divinitatis, inspectantes, ignorant illud alterum dictum: *Et Verbum caro factum est.* Qui autem vir fidelis est & Apostolicus, cognoscens Domini in genus humanum dilectionem, cum videt ea, quæ sunt Deitatis signa, admiratione veneratur Dominum in corpore latentem. Rursus cum videt, quæ sunt corporis propria, plusquam obstupescit, animadvertens in illis Deitatis energiam. Istiusmodi cum sit Ecclesiastica fides, quidam humana ejus respicientes, videntesque ejus sitim, aut fatigationem, aut passionem, obtrectant Salvatori, ut homini mero, & magnopere quidem peccant, possunt tamen celeriter pœnitentiam agendo, veniam consequi: cum habeant pro excusatione imbecillitatem carnis. Cæterum, ubi quis Deitatis opera intuens, incipiat dubitare de Incarnatione Domini, & ille quidem maxime peccat, eo quod, cum videat, eum comedentem, patientem, spectrum inanemque apparitionem corpus ejus fuisse imaginatur: verum & istiusmodi celeriter resipiscentibus veniam Christus donaverit, eo quod & ipsi causam erroris sui habeant ex magnitudine operum, humanam naturam excellentium. At illi, qui amborum istorum insciti am, cæcitatemque transcendunt, putantes se legis scientiam tenere, quales erant ejus temporis Pharisæi, nunc vero Ariani, in insaniam versi, & Verbum, quod in corpore est, prorsus abnegant, & divinitatis opera diabolo ejusque dæmoniis imputant, merito istius impietatis indeprecabilem pœnam luunt, cum & diabolum pro Deo accipiant, & verum

